# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ ΘΕΙΑΣ ΜΕΤΑΛΗΨΕΩΣ

# ПОСЛѢ́ДОВАНЇЄ
# КО СТ҃О́МꙊ ПРИЧАЩЕ́НЇЮ

# ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΘΕΙΑΣ ΜΕΤΑΛΗΨΕΩΣ

Μέλλων προσελθεῖν τοῖς ἀχράντοις Μυστηρίοις, μετὰ τὴν ἀφ᾽ ἑσπέρας εἰθισμένην Ἀκολουθίαν τοῦ Ἀποδείπνου, ἕως τέλους τοῦ, Πιστεύω εἰς ἕνα Θεόν..., λέγε μετὰ κατανύξεως τὸν παρόντα Κανόνα οὗ ἡ Ἀκροστιχὶς κατ᾽ Ἀλφάβητον.

## Ὠδὴ α΄. Ἦχος β΄. Δεῦτε λαοί.

Ἄρτος ζωῆς αἰωνιζούσης γενέσθω μοι τὸ Σῶμά σου τὸ ἅγιον, εὔσπλαγχνε Κύριε, καὶ τὸ τίμιον Αἷμα, καὶ νόσων πολυτρόπων ἀλεξητήριον.

Βεβηλωθεὶς ἔργοις ἀτόποις ὁ δείλαιος, τοῦ σοῦ ἀχράντου Σώματος καὶ θείου Αἵματος ἀνάξιος ὑπάρχω, Χριστέ, τῆς μετουσίας, ἧς με ἀξίωσον.

### Θεοτοκίον.

Γῆ ἀγαθή, εὐλογημένη Θεόνυμφε, τὸν στάχυν ἡ βλαστήσασα τὸν ἀγεώργητον καὶ σωτήριον κόσμῳ, ἀξίωσόν με τοῦτον τρώγοντα σώζεσθαι.

## Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

Δακρύων μοι παράσχου, Χριστέ, ῥανίδας, τὸν ῥύπον τῆς καρδίας μου καθαιρούσας, ὡς ἂν εὐσυνειδότως κεκαθαρμένος, πίστει προσέρχωμαι καὶ φόβῳ, Δέσποτα, ἐν τῇ μεταλήψει τῶν θείων Δώρων σου.

Εἰς ἄφεσιν,γενέσθω μοι τῶν πταισμάτων τό ἄχραντόν σου Σῶμα καὶ θεῖον Αἷμα, εἰς Πνεύματος Ἁγίου τε κοινωνίαν καὶ εἰς αἰώνιον ζωήν, Φιλάνθρωπε, καὶ παθῶν καὶ θλίψεων ἀλλοτρίωσιν.

### Θεοτοκίον.

Ζωῆς τοῦ Ἄρτου τράπεζα, Παναγία, τοῦ ἄνωθεν δι᾽ ἔλεον καταβάντος, καὶ κόσμῳ καινοτέραν ζωὴν διδόντος, κἀμὲ ἀξίωσον νῦν τὸν ἀνάξιον, μετὰ φόβου



# Послѣ́дованїе ко ст҃о́му причащє́нїю

Хотѧ́й прїитѝ ко пречи́стымъ та̑йнамъ, въ ве́черъ по ѡ҆бы́чномъ послѣ́дованїи повечє́рїѧ, по є҆́же скончά́ти вѣ́рꙋю, глаго́летъ съ ᲂу҆милє́нїемъ настоѧ́щїй канѡ́нъ, є҆го́же краестро́чїе по а҆лфави́тꙋ.

## Пѣ́снь а҃. Гла́съ в҃. Гради́те лю́дїе:

Хлѣ́бъ живота̀ вѣ́чнꙋющагѡ да бꙋ́детъ мѝ тѣ́ло твоѐ ст҃о́е, бл҃гоꙋтро́бне г҃и, и҆ ч҃тна́ѧ кро́вь, и҆ недꙋ́гъ многоѡбра́зныхъ и҆сцѣлє́нїе.

Ѡ҆скверне́нъ дѣ́лы безмѣ́стными ѡ҆каѧ́нный, твоегѡ̀ пре́ч҃тагѡ тѣ́ла, и҆ бж҃е́ственныѧ кро́ве недосто́инъ є҆́смь, хр҃тѐ, причащє́нїѧ, є҆гѡ́же мѧ̀ сподо́би.

### Бг҃оро́диченъ:

Землѐ бл҃га́ѧ, бл҃гослове́ннаѧ бг҃оневѣ́сто, кла́съ прозѧ́бшаѧ неѡра́нный, и҆ сп҃си́тельный мі́рꙋ: сподо́би мѧ̀ се́й ꙗ҆дꙋ́ща сп҃сти́сѧ.

## Пѣ́снь г҃. На ка́мени мѧ̀ вѣ́ры:

Сле́зныѧ мѝ пода́ждь хр҃тѐ ка̑пли, скве́рнꙋ се́рдца моегѡ̀ ѡ҆чища́ющыѧ: ꙗ҆́кѡ да бл҃го́ю со́вѣстїю ѡ҆чище́нъ, вѣ́рою прихождꙋ̀ и҆ стра́хомъ вл҃ко, ко причащє́нїю бж҃е́ственныхъ дарѡ́въ твои́хъ.

Во ѡ҆ставлє́нїе да бꙋ́детъ мѝ прегрѣшє́нїй пре́ч҃тое тѣ́ло твоѐ, и҆ бж҃е́ственнаѧ кро́вь, дх҃а же ст҃а́гѡ ѡ҆бщє́нїе, и҆ въ жи́знь вѣ́чнꙋю, чл҃вѣколю́бче, и҆ страсте́й и҆ скорбе́й ѿчꙋжде́нїе.

### Бг҃оро́диченъ:

Хлѣ́ба живо́тнагѡ трапе́за прест҃а́ѧ, свы́ше м҃ти ра́ди сше́дшагѡ, и҆ мі́рови но́вый живо́тъ даю́щагѡ, и҆ менѐ ны́нѣ сподо́би недосто́йнаго, со стра́хомъ вкꙋси́ти

γεύσασθαι τούτου καὶ ζήσεσθαι.

Ὠδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Ἠθέλησας δι᾽ ἡμᾶς σαρκωθείς, Πολυέλεε, τυθῆναι ὡς πρόβατον διὰ βροτῶν ἁμαρτήματα· ὅθεν ἱκετεύω σε, καὶ τὰ ἐμὰ ἐξαλεῖψαι πλημμελήματα.

Θεράπευσον τῆς ψυχῆς μου τὰ τραύματα, Κύριε, καὶ ὅλον ἁγίασον καὶ καταξίωσον, Δέσποτα, ὅπως κοινωνήσω σου τοῦ μυστικοῦ θείου Δείπνου ὁ ταλαίπωρος.

Θεοτοκίον.

Ἱλέωσαι καὶ ἐμοὶ τὸν ἐκ σπλάγχνων σου, Δέσποινα, καὶ τήρει με ἄῤῥυπον, τὸν σὸν ἱκέτην καὶ ἄμεμπτον, ὅπως εἰσδεχόμενος τὸν νοητὸν μαργαρίτην ἁγιάζωμαι.

Ὠδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

Καθὼς προέφης, Χριστέ, γενέσθω δὴ τῷ εὐτελεῖ δούλῳ σου· καὶ ἐν ἐμοὶ μεῖνον ὡς ὑπέσχου· ἰδοὺ γὰρ τὸ Σῶμα τρώγω σου τὸ θεῖον καὶ πίνω τὸ Αἷμά σου.

Λόγε Θεοῦ καὶ Θεέ, ὁ ἄνθραξ γένοιτο τοῦ σοῦ Σώματος εἰς φωτισμὸν τῷ ἐσκοτισμένῳ ἐμοί, καὶ καθαρισμὸν τῆς βεβηλωθείσης ψυχῆς μου τὸ Αἷμά σου.

Θεοτοκίον.

Μαρία Μῆτερ Θεοῦ, τῆς εὐωδίας τὸ σεπτὸν σκήνωμα, ταῖς σαῖς εὐχαῖς σκεῦος ἐκλογῆς με ἀπέργασαι, ὅπως τῶν ἁγιασμάτων μετέχω τοῦ Τόκου σου.

Ὠδὴ ϛ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Νοῦν, ψυχὴν καὶ καρδίαν ἁγίασον, Σῶτερ, καὶ τὸ σῶμά μου, καὶ καταξίωσον ἀκατακρίτως, Δέσποτα, τοῖς φρικτοῖς μυστηρίοις προσέρχεσθαι.

Ξενωθείην παθῶν, καὶ τῆς χάριτος, σχοίην τε προσθήκην ζωῆς καὶ ἀσφάλειαν, διὰ τῆς μεταλήψεως



сегѡ̀, и҆ жи́вꙋ бы́ти.

Пѣ́снь д҃. Пришє́лъ є҆сѝ ѿ дв҃ы:

Восхотѣ́лъ є҆сѝ на́съ ра́ди вопло́щьсѧ многомл҃тиве, закла́нъ бы́ти ꙗ҆́кѡ ѻ҆вча̀, грѣ́хъ ра́ди человѣ́ческихъ: тѣ́мже молю́ тѧ, и҆ моѧ̑ ѡ҆чи́сти согрѣшє́нїѧ.

И҆сцѣлѝ дꙋшѝ моеѧ̀ ꙗ҆́звы гд҃и, и҆ всего̀ ѡ҆ст҃ѝ: и҆ сподо́би вл҃ко, ꙗ҆́кѡ да причащꙋ́сѧ та́йныѧ твоеѧ̀ бж҃е́ственныѧ ве́чери ѻ҆ка́ѧнный.

Бг҃оро́диченъ:

Оу҆ми́лостиви и҆ мнѣ̀ сꙋ́щаго ѿ ᲂу҆тро́бы твоеѧ̀ вл҃чце: и҆ соблюди́ мѧ нескве́рна раба̀ твоего̀, и҆ непоро́чна, ꙗ҆́кѡ да прїе́мь ᲂу҆́мнаго би́сера, ѡ҆сщ҃ꙋ́сѧ.

Пѣ́снь є҃. Свѣ́та пода́телю:

Ꙗ҆́коже предре́клъ є҆сѝ хрⷭ҇тѐ, да бꙋ́детъ ᲂу҆́бѡ хꙋдо́мꙋ рабꙋ̀ твоемꙋ̀, и҆ во мнѣ̀ пребꙋ́ди ꙗ҆́коже ѡ҆бѣща́лсѧ є҆сѝ: се́ бо тѣ́ло твоѐ ꙗ҆́мъ бж҃е́ственное, и҆ пїю̀ кро́вь твою̀.

Сло́ве бж҃їй и҆ бж҃е, ᲂу҆́гль тѣ́ла твоегѡ̀ да бꙋ́детъ мнѣ̀ помраче́нномꙋ въ просвѣще́нїе, и҆ ѡ҆чище́нїе ѡ҆скверне́нной дꙋшѝ моей кро́вь твоѧ̀.

Бг҃оро́диченъ:

Мр҃і́е мт҃и бж҃їѧ, бл҃гоꙋха́нїѧ чⷭ҇тно́е селе́нїе, твои́ми мл҃твами сосꙋ́дъ мѧ̀ и҆збра́нный содѣ́лай, ꙗ҆́кѡ да ѡ҆сщ҃е́нїй причащꙋ́сѧ сн҃а твоегѡ̀.

Пѣ́снь ѕ҃. Въ бе́зднѣ грѣхо́внѣй:

Оу҆́мъ, дꙋ́шꙋ и҆ се́рдце ѡ҆ст҃ѝ сп҃се, и҆ тѣ́ло моѐ, и҆ сподо́би неѡсꙋжде́ннѡ вл҃ко къ стра̑шнымъ та́йнамъ пристꙋпи́ти.

Да бы̀ ᲂу҆страни́лсѧ ѿ страсте́й, и҆ твоеѧ̀ бл҃года́ти и҆мѣ́лъ бы приложе́нїе, живота́ же ᲂу҆тверже́нїе,

τῶν ἁγίων, Χριστέ, Μυστηρίων σου.

Θεοτοκίον.

Ὁ Θεοῦ Θεὸς Λόγος ὁ Ἅγιος, ὅλον με ἁγίασον νῦν προσερχόμενον τοῖς θείοις Μυστηρίοις σου, τῆς ἁγίας Μητρός σου δεήσεσι.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὸν Ἄρτον, Χριστέ, λαβεῖν μὴ ὑπερίδῃς με, τὸ Σῶμα τὸ σὸν καὶ τὸ θεῖον νῦν Αἷμά σου· τῶν ἀχράντων, Δέσποτα, καὶ φρικτῶν Μυστηρίων σου μετασχεῖν τῷ ἀθλίῳ, μὴ εἰς κρῖμά μοι γένοιτο· γένοιτο δέ μοι εἰς ζωὴν αἰώνιον καὶ ἀθάνατον.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Πηγὴ ἀγαθῶν ἡ μετάληψις, Χριστέ, τῶν ἀθανάτων σου νῦν Μυστηρίων· γενηθήτω μοι φῶς καὶ ζωὴ καὶ ἀπάθεια, καὶ πρὸς ἀρετῆς θειοτέρας προκοπὴν καὶ ἐπίδοσιν πρόξενος, μόνε Ἀγαθέ, ὅπως δοξάζω σε.

Ῥυσθείην παθῶν καὶ ἐχθρῶν καὶ ἀναγκῶν καὶ πάσης θλίψεως, τρόμῳ καὶ πόθῳ προσιὼν τανῦν, μετ᾽ εὐλαβείας, Φιλάνθρωπε, σοῦ τοῖς ἀθανάτοις καὶ θείοις Μυστηρίοις καὶ ψάλλων σοι· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Σωτῆρα Χριστὸν ἡ τεκοῦσα ὑπὲρ νοῦν, Θεοχαρίτωτε, ἐκδυσωπῶ σε νῦν ὁ δοῦλός σου, τὴν καθαρὰν ὁ ἀκάθαρτος· μέλλοντά με νῦν τοῖς ἀχράντοις Μυστηρίοις προσέρχεσθαι, κάθαρον ὅλον μολυσμοῦ σαρκὸς καὶ πνεύματος.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Τῶν οὐρανίων καὶ φρικτῶν καὶ ἁγίων σου, Χριστέ, νῦν Μυστηρίων, καὶ τοῦ θείου σου Δείπνου καὶ μυστικοῦ



причащє́ніемъ ст҃ы́хъ хрⷭ҇тѐ та̑инъ твои́хъ.

Бг҃оро́диченъ:

Бж҃їе бж҃е сло́во ст҃о́е, всего́ мѧ̀ ѡ҆ст҃ѝ, ны́нѣ прихѡдѧ́щаго къ бж҃е́ственнымъ твои̑мъ та́йнамъ, ст҃ы́ѧ мт҃ре твоеѧ̀ мольба́ми.

Конда́къ, гла́съ в҃:

Хлѣ́бъ хрⷭ҇тѐ взѧ́ти не пре́зри мѧ̀ тѣ́ло твоѐ, и҆ бж҃е́ственнꙋю твою̀ кро́вь ны́нѣ, пречⷭ҇тыхъ вл҃ко, и҆ стра́шныхъ твои́хъ та̑инъ причасти́тисѧ ѻ҆ка̑ѧннаго: да не бꙋ́детъ мѝ въ сꙋ́дъ, да бꙋ́детъ же мѝ въ живо́тъ вѣ́чный и҆ безсме́ртный.

Пѣ́снь з҃. Тѣ́лꙋ злато́мꙋ:

И҆сто́чникъ бл҃ги́хъ, причаще́нїе хрⷭ҇тѐ безсме́ртныхъ твои́хъ ны́нѣ та́инствъ, да бꙋ́детъ мѝ свѣ́тъ, и҆ живо́тъ, и҆ безстра́стїе, и҆ къ преспѣ́ѧнїю же и҆ ѹ҆множе́нїю добродѣ́тели бж҃е́ственнѣйшїѧ хода́тайственно, є҆ди́не бл҃же, ꙗ҆́кѡ да сла́влю тѧ̀.

Да и҆збавлю́сѧ ѿ страсте́й, и҆ врагѡ́въ, и҆ нꙋ́жды, и҆ всѧ́кїѧ ско́рби, тре́петомъ и҆ любо́вїю, со бл҃гоговѣ́нїемъ чл҃вѣколю́бче пристꙋпа́ѧй ны́нѣ къ твои̑мъ безсме́ртнымъ и҆ бж҃е́ственнымъ та́йнамъ, и҆ пѣ́ти тебѣ̀ сподо́би: бл҃гослове́нъ є҆сѝ гдⷭ҇и бж҃е ѻ҆тє́цъ на́шихъ.

Бг҃оро́диченъ:

Сп҃са хрⷭ҇та̀ ро́ждшаѧ па́че ѹ҆ма̀ бг҃обл҃года́тнаѧ: молю́ тѧ ны́нѣ ра́бъ тво́й, чтꙋ́ю нечи́стый, хотѧ́щаго мѧ̀ ны́нѣ къ пречⷭ҇тымъ та́йнамъ пристꙋпи́ти, ѡ҆чи́сти всего̀ ѿ скве́рны пло́ти и҆ дꙋ́ха.

Пѣ́снь и҃. Въ пе́щь ѻ҆́гненнꙋю:

Нбⷭ҇ныхъ и҆ стра́шныхъ, ст҃ы́хъ твои́хъ хрⷭ҇тѐ, ны́нѣ та̑инъ, и҆ бж҃е́ственныѧ твоеѧ̀ и҆ та́йныѧ ве́чери,

κοινωνὸν γενέσθαι κἀμὲ καταξίωσον, τὸν ἀπεγνωσμένον, ὁ Θεὸς ὁ Σωτήρ μου.

Ὑπὸ τὴν σὴν καταφυγὼν εὐσπλαγχνίαν, Ἀγαθέ, κράζω σοι φόβῳ· Ἐν ἐμοὶ μεῖνον, Σῶτερ, κἀγώ, ὡς ἔφης ἐν σοί· ἰδοὺ γάρ, θαῤῥῶν τῷ ἐλέει σου, τρώγω σου τὸ Σῶμα καὶ πίνω σου τὸ Αἷμα.

Θεοτοκίον.

Φρίττω δεχόμενος τὸ πῦρ, μὴ φλεχθῶ ὡσεὶ κηρὸς καὶ ὡσεὶ χόρτος. Ὢ φρικτοῦ Μυστηρίου! Ὢ εὐσπλαγχνίας Θεοῦ! Πῶς θείου Σώματος καὶ Αἵματος ὁ πηλὸς μετέχω καὶ ἀφθαρτοποιοῦμαι;

Ὠδὴ θ΄. Ἀνάρχου γεννήτορος.

Χριστός ἐστι, γεύσασθε καὶ ἴδετε, ὁ Κύριος· δι᾽ ἡμᾶς καθ᾽ ἡμᾶς γὰρ πάλαι γενόμενος, ἅπαξ ἑαυτόν τε προσάξας, ὡς προσφορὰν Πατρὶ τῷ ἰδίῳ ἀεὶ σφαγιάζεται, ἁγιάζων τοὺς μετέχοντας.

Ψυχὴν σὺν τῷ σώματι ἁγιασθείην, Δέσποτα, φωτισθείην, σωθείην, γενοίμην οἶκός σου τῇ τῶν Μυστηρίων μεθέξει τῶν ἱερῶν, ἔνοικόν σε ἔχων σὺν Πατρὶ καὶ Πνεύματι, εὐεργέτα Πολυέλεε.

Ὡς πῦρ γενηθήτω μοι καὶ ὡσεὶ φῶς τὸ Σῶμά σου καὶ τὸ Αἷμα, Σωτήρ μου, τὸ τιμιώτατον, φλέγον ἁμαρτίας τὴν ὕλην, καὶ ἐμπιπρῶν παθῶν τὰς ἀκάνθας καὶ ὅλον φωτίζον με προσκυνεῖν σου τὴν Θεότητα.

Θεοτοκίον.

Θεὸς σεσωμάτωται, ἐκ τῶν ἁγνῶν αἱμάτων σου· ὅθεν πᾶσα ὑμνεῖ σε γενεά, Δέσποινα· νόων τε τὰ πλήθη δοξάζει, ὡς διὰ σοῦ σαφῶς κατιδόντα τὸν πάντων δεσπόζοντα, οὐσιωθέντα τὸ ἀνθρώπινον.

Καὶ εὐθὺς τό· Ἄξιόν ἐστιν. Τρισάγιον. Παναγία Τριάς.



ѻ҆́бщника бы́ти и҆ менѐ сподо́би ѿча́ѧннаго, бж҃е сп҃се мо́й.

Под̾ твоѐ прибѣ́гъ бл҃гоꙋтро́бїе бл҃же, со стра́хомъ зовꙋ́ ти: во мнѣ̀ пребꙋ́ди сп҃се: и҆ а҆́зъ, ꙗ҆́коже ре́клъ є҆сѝ, къ тебѣ̀. се́ бо дерза́ѧ на мл҃ть твою̀, ꙗ҆́мъ тѣ́ло твоѐ, и҆ пїю̀ кро́вь твою̀.

Бг҃оро́диченъ:

Трепе́щꙋ прїе́млѧ ѻ҆́гнь, да не ѡ҆палю́сѧ ꙗ҆́кѡ во́скъ, и҆ ꙗ҆́кѡ трава̀. Ѽле стра́шнагѡ та́инства! Ѽле бл҃гоꙋтро́бїѧ бж҃їѧ! ка́кѡ бж҃е́ственнагѡ тѣ́ла и҆ кро́ве бре́нїе причаща́юсѧ, и҆ нетлѣ́ненъ сотворѧ́юсѧ!

Пѣ́снь ѳ҃. Безнача́льна роди́телѧ:

Хрⷭ҇то́съ є҆́сть, вкꙋси́те и҆ ви́дите: гдⷭ҇ь на́съ ра́ди, по на́мъ бо дре́вле бы́вый, є҆ди́ною себѐ прине́съ, ꙗ҆́кѡ приноше́нїе ѻ҆ц҃ꙋ̀ своемꙋ̀, при́снѡ закала́етсѧ, ѡ҆сщ҃а́ѧй причаща́ющыѧсѧ.

Дꙋше́ю и҆ тѣ́ломъ да ѡ҆сщ҃ꙋ́сѧ влⷣко, да просвѣщꙋ́сѧ, да сп҃сꙋ́сѧ, да бꙋ́дꙋ до́мъ тво́й, причаще́нїемъ сщ҃е́нныхъ та̑инъ, живꙋ́щаго тѧ̀ и҆мѣ́ѧ въ себѣ̀ со ѻ҆ц҃е́мъ и҆ дх҃омъ, бл҃годѣ́телю многомлⷭ҇тиве.

Ꙗ҆́коже ѻ҆́гнь да бꙋ́детъ мѝ, и҆ ꙗ҆́кѡ свѣ́тъ тѣ́ло твоѐ, и҆ кро́вь сп҃се мо́й пречⷭ҇тна́ѧ: ѡ҆пала́ѧ грѣхо́вное веще́ство̀, сжига́ѧ же страсте́й те́рнїе, и҆ всего́ мѧ просвѣща́ѧ, покланѧ́тисѧ бж҃ествꙋ̀ твоемꙋ̀.

Бг҃оро́диченъ:

Бг҃ъ воплоти́сѧ ѿ чⷭ҇тыхъ крове́й твои́хъ, тѣ́мже всѧ́кїй ро́дъ пое́тъ тѧ̀ влⷣчце: ѹ҆́мнаѧ же мно́жєства сла́вѧтъ, ꙗ҆́кѡ тобо́ю ꙗ҆вѣ̀ ѹ҆зрѣ́ша всѣ́ми влⷣчествꙋ́ющаго, ѡ҆сꙋществова́вшагосѧ человѣ́чествомъ.

И҆ а҆́бїе, Дѡсто́йно є҆́сть: Та́же, Трисⷮ҇ое. по Ѻ҆́ч҃е на́шъ:

Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Καὶ τὰ λοιπὰ τοῦ Ἀποδείπνου (σελ. 229), καὶ Ἀπόλυσις.

Τῇ ἐπαύριον.

Τὴν πρωΐαν μετὰ τὴν συνήθη Ἑωθινὴν Ἀκολουθία, λέγε· Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Δεῦτε προσκυνήσωμεν (γ΄) καὶ τοὺς ἑπομένους ψαλμούς.

## Ψαλμὸς κβ΄ (22)

Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν. Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με. Τὴν ψυχήν μου ἐπέστρεψεν, ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ. Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με. Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον. Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου, εἰς μακρότητα ἡμερῶν.

## Ψαλμὸς κγ΄ (23)

Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν. Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου, ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; Ἀθῷος χερσὶν καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ. Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτου. Αὕτη ἡ



Ꙗ҆́кѡ твоѐ є҆́сть ца́рство: И҆ про́ч. повече́рїѧ, и҆ ѿпꙋ́стъ.

Воꙋ́трїи же

по ѡ҆бы́чныхъ ᲂу҆́тренныхъ моли́твахъ, глаго́летъ:

Трисвѧто́е. Прест҃а́ѧ трⷪ҇це: Ѻ҆́ч҃е на́шъ: Гдⷭ҇и поми́лꙋй, в҃і. Прїиди́те, поклони́мсѧ: три́жды. И҆ настоѧ́щыѧ ѱалмы̀.

## Ѱало́мъ к҃в.

Гдⷭ҇ь пасе́тъ мѧ̀, и҆ ничто́же мѧ̀ лиши́тъ. На мѣ́стѣ ѕла́чнѣ, та́мѡ всели́ мѧ: на водѣ̀ поко́йнѣ воспита́ мѧ. Дꙋ́шꙋ мою̀ ѡ҆братѝ, наста́ви мѧ̀ на стезѝ пра́вды и҆́мене ра́ди своегѡ̀. А҆́ще бо и҆ пойдꙋ̀ посредѣ̀ сѣ́ни сме́ртныѧ, не ᲂу҆бою́сѧ ѕла̀, ꙗ҆́кѡ ты̀ со мно́ю є҆сѝ: же́злъ тво́й и҆ па́лица твоѧ̀, та̀ мѧ̀ ᲂу҆тѣ́шиста. Оу҆гото́валъ є҆сѝ предо мно́ю трапе́зꙋ, сопроти́въ стꙋжа́ющымъ мнѣ̀: ᲂу҆ма́стилъ є҆сѝ є҆ле́емъ главꙋ̀ мою̀, и҆ ча́ша твоѧ̀ ᲂу҆поѧва́ющи мѧ̀ ꙗ҆́кѡ держа́вна. И҆ млⷭ҇ть твоѧ̀ пожене́тъ мѧ̀ всѧ̀ дни҄ живота̀ моегѡ̀: и҆ є҆́же всели́ти ми сѧ въ до́мъ Гдⷭ҇ень въ долготꙋ̀ дні́й.

## Ѱало́мъ к҃г.

Гдⷭ҇нѧ землѧ̀, и҆ и҆сполне́нїе є҆ѧ̀, вселе́ннаѧ и҆ всѝ живꙋ́щїи на не́й. То́й на моря́хъ ѡ҆снова́лъ ю҆̀ є҆́сть, и҆ на рѣка́хъ ᲂу҆гото́валъ ю҆̀ є҆́сть. Кто̀ взы́детъ на го́рꙋ Гдⷭ҇ню; и҆лѝ кто̀ ста́нетъ на мѣ́стѣ ст҃ѣ́мъ є҆гѡ̀; Непови́ненъ рꙋка́ма и҆ чи́стъ се́рдцемъ, и҆́же не прїѧ́тъ всꙋ́е дꙋ́шꙋ свою̀, и҆ не клѧ́тсѧ ле́стїю и҆́скреннемꙋ своемꙋ̀. Се́й прїи́метъ бл҃гослове́нїе ѿ Гдⷭ҇а, и҆ млⷭ҇ты́ню ѿ Бг҃а сп҃са своегѡ̀.

γενεὰ ζητούντων τὸν Κύριον, ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν· καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν· καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

### Ψαλμὸς ριε´ (115)

Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· πᾶς ἄνθρωπος ψεύστης. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. Ὦ Κύριε, ἐγὼ δοῦλος σός, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου· διέῤῥηξας τοὺς δεσμούς μου. Σοὶ θύσω θυσίαν αἰνέσεως καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ, ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου, Ἱερουσαλήμ.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα (γ´). Δόξα σοι ὁ Θεός. Κύριε, ἐλέησον (γ´).

### Καὶ τὰ παρόντα τροπάρια. Ἦχος πλ. Β´.

Τὰς ἀνομίας μου πάριδε, Κύριε, ὁ ἐκ Παρθένου τεχνείς, καὶ τὴν καρδίαν μου καθάρισον, ναὸν αὐτὴν ποιῶν τοῦ ἀχράντου σου Σώματος καὶ Αἵματος· μή με ἐξουδενώσῃς ἀπὸ τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ μέγα



Се́й ро́дъ и҆щꙋ́щихъ гдⷭ҇а, и҆щꙋ́щихъ лицѐ бг҃а і҆а́кѡвлѧ. Возми́те врата̀ кнѧ́зи ва́шѧ, и҆ возми́тесѧ врата̀ вѣ̑чнаѧ, и҆ вни́детъ цр҃ь сла́вы. Кто̀ є҆́сть се́й цр҃ь сла́вы; гдⷭ҇ь крѣ́покъ и҆ си́ленъ, гдⷭ҇ь си́ленъ въ бра́ни. Возми́те врата̀ кнѧ́зи ва́шѧ, и҆ возми́тесѧ врата̀ вѣ̑чнаѧ, и҆ вни́детъ цр҃ь сла́вы. Кто̀ є҆́сть се́й цр҃ь сла́вы; гдⷭ҇ь си́лъ, то́й є҆́сть цр҃ь сла́вы.

### Ѱало́мъ р҃еі.

Вѣ́ровахъ, тѣ́мже возглаго́лахъ, а҆́зъ же смири́хсѧ ѕѣлѡ̀. А҆́зъ же рѣ́хъ во и҆зстꙋпле́нїи мое́мъ: всѧ́къ человѣ́къ ло́жъ. Что̀ возда́мъ гдⷭ҇еви ѡ҆ всѣ́хъ, ꙗ҆̀же воздадѐ мѝ; Ча́шꙋ сп҃се́нїѧ прїимꙋ̀, и҆ и҆́мѧ гдⷭ҇не призовꙋ̀. Мл҃твы моѧ̑ гдⷭ҇еви возда́мъ пред̾ всѣ́ми людьмѝ є҆гѡ̀. Честна̀ пред̾ гдⷭ҇емъ сме́рть прпⷣбныхъ є҆гѡ̀. Ѽ гдⷭ҇и, а҆́зъ ра́бъ тво́й, а҆́зъ ра́бъ тво́й, и҆ сы́нъ рабы́ни твоеѧ̀: растерза́лъ є҆сѝ ѹ҆́зы моѧ̑. Тебѣ̀ пожрꙋ̀ же́ртвꙋ хвалы̀, и҆ во и҆́мѧ гдⷭ҇не призовꙋ̀. Мл҃твы моѧ̑ гдⷭ҇еви возда́мъ пред̾ всѣ́ми людьмѝ є҆гѡ̀: во дво́рѣхъ до́мꙋ гдⷭ҇нѧ, посредѣ̀ тебѐ і҆ерⷭ҇ли́ме.

### Сла́ва, и҆ ны́нѣ, а҆ллилꙋ́їа. Покло́ны г҃.

### И҆ настоѧ́щыѧ тропарѝ, гла́съ и҃:

Беззакѡ́нїѧ моѧ̑ пре́зри гдⷭ҇и, ѿ дв҃ы рожде́йсѧ, и҆ се́рдце моѐ ѡ҆чи́сти, хра́мъ то̀ творѧ̀ пречⷭ҇томꙋ твоемꙋ̀ тѣ́лꙋ и҆ кро́ви: нижѐ ѿри́нни менѐ ѿ твоегѡ̀ лица̀, без̾ числа̀ и҆мѣ́ѧй ве́лїю млⷭ҇ть.

ἔλεος.

Δόξα.

Εἰς τὴν μετάληψιν τῶν ἁγιασμάτων σου πῶς ἀναιδεσθῶ ὁ ἀνάξιος; Ἐὰν γὰρ τολμήσω σοι προσελθεῖν σὺν τοῖς ἀξίοις, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ Δείπνου, καὶ κατάκρισιν προξενήσω τῇ πολυαμαρτήτῳ μου ψυχῇ. Καθάρισον, Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Πολλὰ τὰ πλήθη τῶν ἐμῶν, Θεοτόκε, πταισμάτων· πρὸς σὲ κατέφυγον, ἁγνή, σωτηρίας δεόμενος. Ἐπίσκεψαι τὴν ἀσθενοῦσάν μου ψυχὴν καὶ πρέσβευε τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, δοθῆναί μοι τὴν ἄφεσιν, ὧν ἔπραξα δεινῶν, μόνη εὐλογημένη.

Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ τὸ παρόν.

Ὅτε οἱ ἔνδοξοι μαθηταί, ἐν τῷ νιπτῆρι τοῦ Δείπνου ἐφωτίζοντο, τότε Ἰούδας ὁ δυσσεβὴς φιλαργυρίαν νοσήσας ἐσκοτίζετο καὶ ἀνόμοις κριταῖς σέ, τὸν δίκαιον Κριτήν, παραδίδωσι. Βλέπε, χρημάτων ἐραστά, τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον· φεῦγε ἀκόρεστον ψυχήν, τὴν διδασκάλου τοιαῦτα τολμήσασαν. Ὁ περὶ πάντας ἀγαθός, Κύριε, δόξα σοι.

Τό· Κύριε, ἐλέησον (μ΄). Μετανοίας ὅσας βούλει, καὶ εὐθὺς τὰς ἑπομένας ἱκετηρίους Εὐχάς.

Στίχοι διδακτικοί.

Μέλλων φαγεῖν, ἄνθρωπε, Σῶμα Δεσπότου.
Φόβῳ πρόσελθε, μὴ φλεγῇς· πῦρ τυγχάνει.
Θεῖον δὲ πίνων Αἷμα πρὸς μετουσίαν.
Πρῶτον καταλλάγηθι τοῖς σὲ λυποῦσιν.
Ἔπειτα θαῤῥῶν, μυστικὴν βρῶσιν φάγε.



Сла́ва:

Во прича́стїе ст҃ы́нь твои́хъ, ка́кѡ дерзнꙋ̀ недосто́йный; а҆́ще бо дерзнꙋ̀ къ тебѣ̀ пристꙋпи́ти съ досто́йными, хїтѡ́нъ мѧ̀ ѡ҆блича́етъ, ꙗ҆́кѡ нѣ́сть вече́рнїй, и҆ ѡ҆сꙋжде́нїе и҆сходата́йствꙋю многогрѣ́шной дꙋшѝ мое́й. ѡ҆чи́сти гдⷭ҇и скве́рнꙋ дꙋшѝ моеѧ̀ и҆ сп҃сѝ мѧ̀, ꙗ҆́кѡ чл҃вѣколю́бецъ.

И҆ ны́нѣ:

Мнѡ́гаѧ мно́жєства мои́хъ, бцⷣе, прегрѣше́нїй, къ тебѣ̀ прибѣго́хъ чⷭ҇таѧ, сп҃се́нїѧ тре́бꙋѧ: посѣтѝ немощствꙋ́ющꙋю моѭ̀ дꙋ́шꙋ, и҆ молѝ сн҃а твоего̀ и҆ бг҃а на́шего да́ти мѝ ѡ҆ставле́нїе, ꙗ҆̀же содѣ́ѧхъ лю́тыхъ, є҆ди́на бл҃гослове́ннаѧ.

Во ст҃ꙋю же и҆ вели́кꙋю м҃_цꙋ, глаго́ли:

Є҆гда̀ сла́внїи ᲂу҆чн҃цы̀ на ᲂу҆мове́нїи ве́чери просвѣща́хꙋсѧ, тогда̀ ї҆ꙋ́да ѕлочести́вый сребролю́бїемъ недꙋ́говавъ ѡ҆мрача́шесѧ, и҆ беззакѡ́ннымъ сꙋдїѧ́мъ тебѐ пра́веднаго сꙋдїю̀ предае́тъ. Ви́ждь, и҆мѣ́нїй рачи́телю, си́хъ ра́ди ᲂу҆давле́нїе ᲂу҆потреби́вша: бѣжѝ несы́тыѧ дꙋшѝ, ᲂу҆чи́телю такова̑ѧ дерзнꙋ́вшїѧ. И҆́же ѡ҆ всѣ́хъ бла́гїй, гдⷭ҇и, сла́ва тебѣ̀.

Та́же, Гдⷭ҇и поми́лꙋй, м҃.

И҆ покло́ны, є҆ли́кѡ хо́щеши.

И҆ а҆́бїе настоѧ́щыѧ стїхѝ:

Хотѧ̀ ꙗ҆́сти человѣ́че, тѣ́ло влⷣчне,
Стра́хомъ пристꙋпѝ, да не ѡ҆пали́шисѧ: ѻ҆́гнь бо є҆́сть.
Бж҃е́ственнꙋю же пїѧ̀ кро́вь ко ѻ҆бще́нїю,
Пе́рвѣе примири́сѧ тѣ̀ ѡ҆печа́лившымъ.
Та́же дерза́ѧ та́инственное бра́шно ꙗ҆́ждь.

## Ἕτεροι ὅμοιοι.

Πρὸ τοῦ μετασχεῖν τῆς φρικώδους θυσίας,
Τοῦ ζωοποιοῦ Σώματος τοῦ Δεσπότου,
Τῷδε πρόσευξαι τῷ τρόπῳ μετὰ τρόμου.

## Εὐχὴ α΄. Τοῦ Μεγάλου Βασιλείου.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, ὁ πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως δημιουργός, ὁ τοῦ ἀνάρχου Πατρὸς συναΐδιος Υἱὸς καὶ συνάναρχος, ὁ δι᾽ ὑπερβολὴν ἀγαθότητος ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν σάρκα φορέσας, καὶ σταυρωθεὶς καὶ τυθεὶς ὑπὲρ τῶν ἀχαρίστων καὶ ἀγνωμόνων ἡμῶν, καὶ τῷ οἰκείῳ σου Αἵματι ἀναπλάσας τὴν φθαρεῖσαν ὑπὸ τῆς ἁμαρτίας φύσιν ἡμῶν, αὐτὸς ἀθάνατε Βασιλεῦ, πρόσδεξαι κἀμοῦ τοῦ ἁμαρτωλοῦ τὴν μετάνοιαν, καὶ κλῖνον τὸ οὖς σου ἐπ᾽ ἐμοί, καὶ εἰσάκουσον τῶν ῥημάτων μου· ἥμαρτον γάρ, Κύριε, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι εἰς τὸ ὕψος τῆς δόξης σου· παρώργισα γάρ σου τὴν ἀγαθότητα, τὰς σὰς ἐντολὰς παραβὰς καὶ μὴ ὑπακούσας τοῖς σοῖς προστάγμασιν. Ἀλλὰ σύ, Κύριε, ἀνεξίκακος ὤν, μακρόθυμός τε καὶ πολυέλεος, οὐ παρέδωκάς με συναπολέσθαι ταῖς ἀνομίαις μου, τὴν ἐμὴν πάντως ἀναμένων ἐπιστροφήν. Σὺ γὰρ εἶπας, φιλάνθρωπε, διὰ τοῦ προφήτου σου, ὅτι οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν· οὐ γὰρ βούλει, Δέσποτα, τὸ πλάσμα τῶν σῶν ἀπολέσθαι χειρῶν, οὐδὲ εὐδοκεῖς ἐπ᾽ ἀπωλείᾳ ἀνθρώπων, ἀλλὰ θέλεις πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Διὸ κἀγώ, εἰ καὶ ἀνάξιός εἰμι τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ αὐτῆς τῆς προσκαίρου



## И҆́ныѧ сті́хи:

Пре́жде прича́стїѧ стра́шныѧ же́ртвы,
Животворѧ́щагѡ тѣ́ла вл҃чнѧ,
Си́мъ помоли́сѧ ѡ҆́бразомъ со тре́петомъ.

## Мл҃тва вели́кагѡ васі́лїа, а҃:

Вл҃ко гдⷭ҇и і҆и҃се хрⷭ҇тѐ бж҃е на́шъ, и҆сто́чниче жи́зни и҆ безсме́ртїѧ, всеѧ̀ тва́ри ви́димыѧ и҆ неви́димыѧ содѣ́телю, безнача́льнагѡ ѻ҆ц҃а̀ соприсносꙋ́щный сн҃е, и҆ собезнача́льный, премно́гїѧ ра́ди бл҃гости въ послѣ́днїѧ дни̑ въ пло́ть ѡ҆бол́кїйсѧ, и҆ распны́йсѧ, и҆ погребы́йсѧ за ны̀ неблагода́рныѧ и҆ ѕлонра́вныѧ, и҆ свое́ю кро́вїю ѡ҆бнови́вый растлѣ́вшее грѣхо́мъ є҆стество̀ на́ше: са́мъ безсме́ртный цр҃ю, прїимѝ и҆ моѐ грѣ́шнагѡ покаѧ́нїе, и҆ приклонѝ ᲂу҆́хо твоѐ мнѣ̀, и҆ ᲂу҆слы́ши глаго́лы моѧ̑. согрѣши́хъ бо, гдⷭ҇и, согрѣши́хъ на нбⷭ҇о и҆ пред̾ тобо́ю, и҆ нѣ́смь досто́инъ воззрѣ́ти на высотꙋ̀ сла́вы твоеѧ̀: прогнѣ́вахъ бо твою̀ бл҃гость, твоѧ̑ за́повѣди престꙋпи́въ и҆ не послꙋ́шавъ твои́хъ повелѣ́нїй. Но ты̀ гдⷭ҇и, незло́бивъ сы́й, долготерпѣ́ливъ же и҆ многомлⷭ҇тивъ, не преда́лъ є҆сѝ мѧ погибнꙋ́ти со беззако́ньми мои́ми, моегѡ̀ всѧ́чески ѡ҆жидаѧ ѡ҆браще́нїѧ. Ты́ бо ре́клъ є҆сѝ чл҃вѣколю́бче прⷪ҇ро́комъ твои́мъ: ꙗ҆́кѡ хотѣ́нїемъ не хощꙋ̀ сме́рти грѣ́шника, но є҆́же ѡ҆брати́тисѧ и҆ жи́вꙋ бы́ти є҆мꙋ̀. Не хо́щеши бо вл҃ко, созда́нїѧ твое́ю рꙋ́кꙋ погꙋби́ти, нижѐ бл҃говоли́ши ѡ҆ поги́бели человѣ́честѣй, но хо́щеши всѣ́мъ сп҃сти́сѧ, и҆ въ ра́зꙋмъ и҆́стины прїитѝ. Тѣ́мже и҆ а҆́зъ, а҆́ще и҆ недосто́инъ є҆́смь нбⷭ҇ѐ и҆ земли̑, и҆ сеѧ̀ привре́менныѧ жи́зни, всего̀ себѐ пови́нꙋвъ грѣхꙋ̀, и҆

ζωῆς, ὅλον ἐμαυτὸν ὑποτάξας τῇ ἁμαρτίᾳ καὶ ταῖς ἡδοναῖς δουλώσας καὶ τὴν σὴν ἀχρειώσας εἰκόνα, ἀλλὰ ποίημα καὶ πλάσμα σὸν γεγονώς, οὐκ ἀπογινώσκω τὴν ἐμαυτοῦ σωτηρίαν ὁ ἄθλιος· τῇ δὲ σῇ ἀμετρήτῳ εὐσπλαγχνίᾳ θαῤῥήσας προσέρχομαι. Δέξαι οὖν κἀμέ, φιλάνθρωπε Χριστέ, ὡς τὴν Πόρνην, ὡς τὸν Ληστήν, ὡς τὸν Τελώνην καὶ ὡς τὸν Ἄσωτον· καὶ ἆρόν μου τὸ βαρὺ φορτίον τῶν ἁμαρτιῶν, ὁ τὴν ἁμαρτίαν αἴρων τοῦ κόσμου καὶ τὰς ἀσθενείας τῶν ἀνθρώπων ἰώμενος· ὁ τοὺς κοπιῶντας καὶ πεφορτισμένους πρὸς σεαυτὸν καλῶν καὶ ἀναπαύων· ὁ μὴ ἐλθὼν καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν· καὶ καθάρισόν με ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· δίδαξόν με ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου, ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεώς μου, τῶν ἁγιασμάτων σου τὴν μερίδα ὑποδεχόμενος, ἑνωθῶ τῷ ἁγίῳ Σώματί σου καὶ Αἵματι, καὶ ἔξω σε ἐν ἐμοὶ κατοικοῦντα καὶ μένοντα, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι. Ναί, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου· καὶ μὴ εἰς κρῖμά μοι γένοιτο ἡ μετάληψις τῶν ἀχράντων καὶ ζωοποιῶν Μυστηρίων σου, μηδὲ ἀσθενὴς γενοίμην ψυχῇ τε καὶ σώματι, ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν· ἀλλὰ δός μοι, μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τὴν μερίδα τῶν ἁγιασμάτων σου, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς ἐφόδιον ζωῆς αἰωνίου καὶ εἰς εὐπρόσδεκτον ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου· ὅπως ἂν κἀγώ, σὺν πᾶσι τοῖς ἐκλεκτοῖς σου, μέτοχος γένωμαι τῶν ἀκηράτων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε· ἐν οἷς δεδοξασμένος ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.



сласте́мъ порабо́тивъ, и҆ тво́й ѡ҆скверни́въ ѡ҆́бразъ: но творе́нїе и҆ созда́нїе твоѐ бы́въ, не ѿчаѧва́ю своегѡ̀ сп҃се́нїѧ ѻ҆ка́ѧнный, на твое́ же безмѣ́рное бл҃гоꙋтро́бїе дерза́ѧ прихождꙋ̀. Прїимѝ ᲂу҆̀бо и҆ менѐ чл҃вѣколю́бче гдⷭ҇и ꙗ҆́коже блꙋдни́цꙋ, ꙗ҆́кѡ разбо́йника, ꙗ҆́кѡ мытарѧ̀, и҆ ꙗ҆́кѡ блꙋ́днаго, и҆ возмѝ моѐ тѧ́жкое бре́мѧ грѣхѡ́въ, грѣ́хъ взе́млѧй мі́ра, и҆ не́мощи человѣ́ческїѧ и҆сцѣлѧ́ѧй: трꙋжда́ющыѧсѧ и҆ ѡ҆бремене́нныѧ къ себѣ̀ призыва́ѧй и҆ ᲂу҆покоева́ѧй, не прише́дый призва́ти пра́ведныѧ, но грѣ̑шныѧ на покаѧ́нїе, и҆ ѡ҆чи́сти мѧ̀ ѿ всѧ́кїѧ скве́рны пло́ти и҆ дꙋ́ха, и҆ наꙋчи́ мѧ соверша́ти ст҃ы́ню во стра́сѣ твое́мъ: ꙗ҆́кѡ да чи́стымъ свѣ́дѣнїемъ со́вѣсти моеѧ̀, ст҃ы́нь твои́хъ ча́сть прїе́млѧ, соедин́юсѧ ст҃о́мꙋ тѣ́лꙋ твоемꙋ̀ и҆ кро́ви, и҆ и҆мѣ́ю тебѐ во мнѣ̀ живꙋ́ща и҆ пребыва́юща со ѻ҆ц҃е́мъ и҆ ст҃ы́мъ твои́мъ дх҃омъ. Є҆́й гдⷭ҇и і҆и҃се хрⷭ҇тѐ бж҃е мо́й, и҆ да не въ сꙋ́дъ мѝ бꙋ́детъ прича́стїе пречⷭ҇тыхъ, и҆ животворѧ́щихъ та̑инъ твои́хъ, нижѐ да не́мощенъ бꙋ́дꙋ дꙋше́ю же и҆ тѣ́ломъ, ѿ є҆́же недосто́йнѣ тѣ̑мъ причаща́тисѧ: но да́ждь мѝ да́же до коне́чнагѡ моегѡ̀ и҆здыха́нїѧ, неѡсꙋжде́ннѡ воспрїима́ти ча́сть ст҃ы́нь твои́хъ, въ дх҃а ст҃а́гѡ ѻ҆бще́нїе, въ напꙋ́тїе живота̀ вѣ́чнагѡ, и҆ во бл҃гопрїѧ́тенъ ѿвѣ́тъ на стра́шнѣмъ сꙋди́щи твое́мъ: ꙗ҆́кѡ да и҆ а҆́зъ со всѣ́ми и҆збра́нными твои́ми ѻ҆́бщникъ бꙋ́дꙋ нетлѣ́нныхъ твои́хъ бла̑гъ, ꙗ҆̀же ᲂу҆гото́валъ є҆сѝ люблѧ́щымъ тѧ̀ гдⷭ҇и, въ ни́хже препросла́вленъ є҆сѝ во вѣ́ки, а҆ми́нь.

## Εὐχὴ β΄. Τοῦ αὐτοῦ.

Οἶδα, Κύριε, ὅτι ἀναξίως μεταλαμβάνω τοῦ ἀχράντου σου Σώματος καὶ τοῦ τιμίου σου Αἵματος καὶ ἔνοχός εἰμι, καὶ κρῖμα ἐμαυτῷ ἐσθίω καὶ πίνω, μὴ διακρίνων τὸ Σῶμα καὶ τὸ Αἷμα τοῦ Χριστοῦ καὶ Θεοῦ μου· ἀλλὰ τοῖς οἰκτιρμοῖς σου θαῤῥῶν, προσέρχομαί σοι τῷ εἰπόντι. Ὁ τρώγων μου τὴν Σάρκα καὶ πίνων μου τὸ Αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ· Σπλαγχνίσθητι οὖν, Κύριε, καὶ μὴ παραδειγματίσῃς με τὸν ἁμαρτωλόν, ἀλλὰ ποίησον μετ᾽ ἐμοῦ κατὰ τὸ ἔλεός σου· καὶ γενέσθω μοι τὰ ἅγια ταῦτα εἰς ἴασιν καὶ κάθαρσιν καὶ φωτισμὸν καὶ φυλακτήριον καὶ σωτηρίαν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος· εἰς ἀποτροπὴν πάσης φαντασίας καὶ πονηρᾶς πράξεως καὶ ἐνεργείας διαβολικῆς, κατὰ διάνοιαν τῆς ἐν τοῖς μέλεσί μου ἐνεργουμένης· εἰς παῤῥησίαν καὶ ἀγάπην τὴν πρὸς σέ· εἰς διόρθωσιν βίου καὶ ἀσφάλειαν· εἰς αὔξησιν ἀρετῆς καὶ τελειότητος· εἰς πλήρωσιν ἐντολῶν· εἰς Πνεύματος ἁγίου κοινωνίαν· εἰς ἐφόδιον ζωῆς αἰωνίου καὶ εἰς ἀπολογίαν εὐπρόσδεκτον, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου· μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

## Εὐχὴ γ΄. Ἰωάννου τοῦ Χρυσοστόμου.

Κύριε ὁ Θεός μου, οἶδα, ὅτι οὐκ εἰμὶ ἄξιος, οὐδὲ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς τοῦ οἴκου τῆς ψυχῆς, διότι ὅλη ἔρημος καὶ καταπεσοῦσά ἐστι, καὶ οὐκ ἔχεις παρ᾽ ἐμοὶ τόπον ἄξιον τοῦ κλῖναι τὴν κεφαλήν. Ἀλλ᾽ ὡς ἐξ ὕψους δι᾽ ἡμᾶς ἐταπείνωσας σεαυτόν, συμμετρίασον καὶ νῦν τῇ ταπεινώσει μου. Καὶ ὡς κατεδέξω ἐν τῷ σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, οὕτω κατάδεξαι καί ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς καὶ



## Вели́кагѡ васі́лїа, в҃:

Вѣ́мъ гдⷭ҇и, ꙗ҆́кѡ недосто́йнѣ причаща́юсѧ пречⷭ҇тагѡ твоегѡ̀ тѣ́ла, и҆ чⷭ҇тныѧ́ твоеѧ̀ кро́ве: и҆ пови́ненъ є҆́смь, и҆ сꙋ́дъ себѣ̀ ꙗ҆́мъ и҆ пїю̀, не разсꙋжда́ѧ тѣ́ла и҆ кро́ве тебѐ хрⷭ҇та̀ и҆ бг҃а моегѡ̀, но на щедрѡ́ты твоѧ҄ дерза́ѧ прихождꙋ̀ къ тебѣ̀ ре́кшемꙋ: ꙗ҆дый мою̀ пло́ть, и҆ пїѧ́й мою̀ кро́вь, во мнѣ̀ пребыва́етъ, и҆ а҆́зъ въ не́мъ. ᲂу҆мл҃рдисѧ ᲂу҆̀бо гдⷭ҇и, и҆ не ѡ҆бличи́ мѧ грѣ́шнаго, но сотворѝ со мно́ю по млⷭ҇ти твое́й: и҆ да бꙋ́дꙋтъ мѝ ст҃аѧ сїѧ҄ во и҆сцѣле́нїе, и҆ ѡ҆чище́нїе, и҆ просвѣще́нїе, и҆ сохране́нїе, и҆ сп҃се́нїе, и҆ во ѡ҆ст҃ще́нїе дꙋшѝ и҆ тѣ́ла, во ѿгна́нїе всѧ́кагѡ мечта́нїѧ, и҆ лꙋка́вагѡ дѣѧ́нїѧ, и҆ дѣ́йства дїа́вольскагѡ, мы́сленнѣ во ᲂу҆дѣсѣ́хъ мои́хъ дѣ́йствꙋемагѡ, въ дерзнове́нїе и҆ любо́вь, ꙗ҆̀же къ тебѣ̀: во и҆справле́нїе житїѧ̀ и҆ ᲂу҆твержде́нїе, въ возраще́нїе добродѣ́тели и҆ соверше́нства: во и҆сполне́нїе за́повѣдей, въ дх҃а ст҃а́гѡ ѻ҆бще́нїе, въ напꙋ́тїе живота̀ вѣ́чнагѡ, во ѿвѣ́тъ бл҃гопрїѧ́тенъ на стра́шнѣмъ сꙋди́щи твое́мъ, не въ сꙋ́дъ и҆лѝ во ѡ҆сꙋжде́нїе.

## Мл҃тва г҃, и҆́же во ст҃ы́хъ ѻ҆тца̀ на́шегѡ і҆ѡа́нна златоꙋ́стагѡ,

Гдⷭ҇и бж҃е мо́й, вѣ́мъ, ꙗ҆́кѡ нѣ́смь досто́инъ, нижѐ дово́ленъ, да по́дъ кро́въ вни́деши хра́ма дꙋшѝ моеѧ̀: занѐже ве́сь пꙋ́стъ и҆ па́дсѧ є҆́сть, и҆ не и҆́маши во мнѣ̀ мѣ́ста досто́йна, є҆́же главꙋ̀ подклони́ти: но ꙗ҆́коже съ высоты̀ на́съ ра́ди смири́лъ є҆сѝ себѐ, смири́сѧ и҆ нынѣ̀ смире́нїю моемꙋ̀: и҆ ꙗ҆́коже воспрїѧ́лъ є҆сѝ въ верте́пѣ и҆ въ ꙗ҆́слехъ безслове́сныхъ возлещѝ: си́це воспрїимѝ и҆ въ

ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν. Καὶ ὡς οὐκ ἀπηξίωσας εἰσελθεῖν καὶ συνδειπνῆσαι ἁμαρτωλοῖς, ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, οὕτω κατάδεξαι εἰσελθεῖν καὶ εἰς τὸν οἶκον τῆς ταπεινῆς μου ψυχῆς, τοῦ λεπροῦ καὶ ἁμαρτωλοῦ. Καὶ ὡς οὐκ ἀπώσω τὴν ὁμοίαν μοι Πόρνην καὶ ἁμαρτωλόν, προσερχομένην καὶ ἁπτομένην σου, οὕτω σπλαγχνίσθητι καὶ ἐπ’ ἐμοὶ τῷ ἁμαρτωλῷ, προσερχομένῳ σοι καὶ ἁπτομένῳ σου. Καὶ ὡς οὐκ ἐβδελύξω τὸ ῥυπαρὸν ἐκείνης στόμα καὶ ἐναγὲς καταφιλοῦν σε, μηδὲ ἐμοῦ βδελύξῃ τὸ ῥυπαρώτερον ἐκείνης στόμα καὶ ἐναγέστερον, μηδὲ τὰ ἔμμυσα καὶ ἀκάθαρτά μου χείλη καὶ βέβηλα, καὶ τὴν ἀκαθαρτοτέραν μου γλῶσσαν. Ἀλλὰ γενέσθω μοι ὁ ἄνθραξ τοῦ παναγίου σου Σώματος καὶ τοῦ τιμίου σου Αἵματος εἰς ἁγιασμὸν καὶ φωτισμὸν καὶ ῥῶσιν τῆς ταπεινῆς μου ψυχῆς καὶ τοῦ σώματος· εἰς κουφισμὸν τοῦ βάρους τῶν πολλῶν μου πλημμελημάτων· εἰς φυλακτήριον πάσης διαβολικῆς ἐνεργείας· εἰς ἀποτροπὴν καὶ ἐμπόδιον τῆς φαύλης μου καὶ πονηρᾶς συνηθείας· εἰς ἀπονέκρωσιν τῶν παθῶν· εἰς περιποίησιν τῶν ἐντολῶν σου· εἰς προσθήκην τῆς θείας σου χάριτος καὶ τῆς σῆς βασιλείας οἰκείωσιν. Οὐ γὰρ ὡς καταφρονῶν προσέρχομαί σοι, Χριστὲ ὁ Θεός, ἀλλ’ ὡς θαῤῥῶν τῇ ἀφάτῳ σου ἀγαθότητι, καὶ ἵνα μή, ἐπὶ πολὺ ἀφιστάμενος τῆς κοινωνίας σου, θηριάλωτος ὑπὸ τοῦ νοητοῦ λύκου γένωμαι. Διὸ δέομαί σου, ὡς μόνος ὢν ἅγιος, Δέσποτα, ἁγίασόν μου τὴν ψυχὴν καὶ τὸ σῶμα, τὸν νοῦν καὶ τὴν καρδίαν, τοὺς νεφροὺς καὶ τὰ σπλάγχνα, καὶ ὅλον με ἀνακαίνισον καὶ ῥίζωσον τὸν φόβον σου ἐν τοῖς μέλεσί μου, καὶ τὸν ἁγιασμόν σου



ꙗ҆́слехъ безслове́сныѧ моеѧ̀ души̑, и҆ во ѡ҆скверне́нное моѐ тѣ́ло вни́ти. и҆ ꙗ҆́коже не не ᲂу҆достоѧ́лъ є҆сѝ вни́ти, и҆ свечерѧ́ти со грѣ́шники въ до́мꙋ сі́мѡна прокаже́ннагѡ: та́кѡ и҆зво́ли вни́ти и҆ въ до́мъ смире́нныѧ моеѧ̀ души̑, прокаже́нныѧ и҆ грѣ́шныѧ. и҆ ꙗ҆́коже не ѿри́нꙋлъ є҆сѝ подо́бнꙋю мнѣ̀ блꙋдни́цꙋ, и҆ грѣ́шнꙋю, прише́дшꙋю и҆ прикоснꙋ́вшꙋюсѧ тебѣ̀: си́це ᲂу҆млⷭ҇рдисѧ и҆ ѡ҆ мнѣ̀ грѣ́шнѣмъ, приходѧ́щемъ и҆ прикаса́ющемъ ти сѧ. и҆ ꙗ҆́коже не возгнꙋша́лсѧ є҆сѝ скве́рныхъ є҆ѧ̀ ᲂу҆́стъ и҆ нечи́стыхъ, цѣлꙋ́ющихъ тѧ̀, нижѐ мои́хъ возгнꙋша́йсѧ скве́рншихъ ѻ҆́ныѧ ᲂу҆́стъ, и҆ нечи́стшихъ: нижѐ ме́рзкихъ мои́хъ и҆ нечи́стыхъ ᲂу҆сте́нъ, и҆ скве́рнагѡ и҆ нечи́стѣйшагѡ моегѡ̀ ѧ҆зы́ка. но да бꙋ́детъ мѝ ᲂу҆́гль прест҃а́гѡ твоегѡ̀ тѣ́ла, и҆ чⷭ҇тныѧ твоеѧ̀ кро́ве, во ѡ҆сщ҃е́нїе, и҆ просвѣще́нїе, и҆ здра́вїе смире́ннѣй моей души̑ и҆ тѣ́лꙋ, во ѡ҆блегче́нїе тѧ́жестей мно́гихъ мои́хъ согрѣше́нїй, въ соблюде́нїе ѿ всѧ́кагѡ дїа́вольскагѡ дѣ́йства, во ѿгна́нїе и҆ возбране́нїе ѕла́гѡ моегѡ̀ и҆ лꙋка́вагѡ ѻ҆бы́чаѧ: во ᲂу҆мерщвле́нїе страсте́й, въ снабдѣ́нїе за́повѣдей твои́хъ, въ приложе́нїе бж҃е́ственныѧ твоеѧ̀ бл҃года́ти, и҆ твоегѡ̀ црⷭ҇твїѧ присвое́нїе. не бо̀ ꙗ҆́кѡ презира́ѧй прихождꙋ̀ къ тебѣ̀ хрⷭ҇тѐ бж҃е, но ꙗ҆́кѡ дерза́ѧ на неизрече́ннꙋю твою̀ бл҃гость: и҆ да не на мно́зѣ ᲂу҆далѧ́ѧйсѧ ѻ҆бще́нїѧ твоегѡ̀, ѿ мы́сленнагѡ во́лка ѕвѣроꙋловле́нъ бꙋ́дꙋ. тѣ́мже молю́сѧ тебѣ̀, ꙗ҆́кѡ є҆ди́нъ сы́й ст҃ъ вл҃ко, ѡ҆ст҃ѝ мою̀ дꙋ́шꙋ и҆ тѣ́ло, ᲂу҆́мъ и҆ се́рдце, чреве́са̀ и҆ ᲂу҆тро́бы, и҆ всего́ мѧ ѡ҆бнови̑: и҆ вкорени̑ стра́хъ тво́й во ᲂу҆десѣ́хъ мои́хъ, и҆ ѡ҆сщ҃е́нїе твоѐ неѿе́млемо ѿ менѐ сотвори̑. и҆ бꙋ́ди мѝ помо́щникъ и҆ застꙋ́пникъ, ѡ҆кормлѧ́ѧ въ ми́рѣ живо́тъ мо́й, сподоблѧ́ѧ мѧ̀ и҆ ѡ҆деснꙋ́ю тебѐ

ἀνεξάλειπτον ἀπ᾽ ἐμοῦ ποίησον. Καὶ γενοῦ μοι βοηθὸς καὶ ἀντιλήπτωρ, κυβερνῶν ἐν εἰρήνῃ τὴν ζωήν μου, καταξιῶν με καὶ τῆς ἐκ τῶν δεξιῶν σου παραστάσεως μετὰ τῶν ἁγίων σου· εὐχαῖς καὶ πρεσβείαις τῆς παναχράντου σου Μητρός, τῶν ἀΰλων σου λειτουργῶν καὶ ἀχράντων Δυνάμεων καὶ πάντων τῶν Ἁγίων, τῶν ἀπ᾽ αἰῶνος σοι εὐαρεστησάντων. Ἀμήν.

## Εὐχὴ δ΄. Τοῦ αὐτοῦ.

Οὐκ εἰμὶ ἱκανός, Δέσποτα Κύριε, ἵνα εἰσέλθῃς ὑπὸ τὴν στέγην τῆς ψυχῆς μου· ἀλλ᾽ ἐπειδὴ βούλει σύ, ὡς φιλάνθρωπος, οἰκεῖν ἐν ἐμοί, θαῤῥῶν προσέρχομαι. Κελεύεις, ἀναπετάσω τὰς πύλας, ἃς σὺ μόνος ἐδημιούργησας, καὶ εἰσέρχῃ μετὰ φιλανθρωπίας, ὡς πέφυκας· εἰσέρχῃ καὶ φωτίζεις τὸν ἐσκοτισμένον μου λογισμόν. Πιστεύω ὡς τοῦτο ποιήσεις· οὐ γὰρ Πόρνην προσελθοῦσάν σοι μετὰ δακρύων ἀπέφυγες, οὐδὲ Τελώνην ἀπεβάλου μετανοήσαντα, οὐδὲ Λῃστὴν ἐπιγνόντα τὴν βασιλείαν σου ἀπεδίωξας, οὐδὲ Διώκτην μετανοήσαντα κατέλιπες, ὃ ἦν· ἀλλὰ τοὺς ὑπὸ τῆς μετανοίας σοι προσαχθέντας, ἅπαντας ἐν τῷ χορῷ τῶν σῶν φίλων κατέταξας, ὁ μόνος ὑπάρχων εὐλογημένος πάντοτε· νῦν καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας. Ἀμήν.

## Εὐχὴ ε΄. Τοῦ αὐτοῦ.

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, ἄνες, ἄφες, ἱλάσθητι καὶ συγχώρησόν μοι, τῷ ἁμαρτωλῷ καὶ ἀχρείῳ καὶ ἀναξίῳ δούλῳ σου, τὰ πταίσματα καὶ πλημμελήματα καὶ παραπτώματά μου, ὅσα σοι ἐκ νεότητός μου μέχρι τῆς παρούσης ἡμέρας καὶ ὥρας ἥμαρτον, εἴτε ἐν γνώσει καὶ ἀγνοίᾳ, εἴτε ἐν λόγοις ἢ ἔργοις ἢ ἐνθυμήμασιν ἢ διανοήμασι καὶ ἐπιτηδεύμασι, καὶ πάσαις μου ταῖς



предстоѧ́нїѧ со ст҃ы́ми твои́ми, мл҃твами и҆ молє́ньми прⷭ҇чтыѧ твоеѧ̀ мт҃рє, невещє́ственныхъ твои́хъ слꙋжи́телей, и҆ прⷭ҇чтыхъ си́лъ, и҆ всѣ́хъ ст҃ы́хъ ѿ вѣ́ка тебѣ̀ бл҃гоꙋгоди́вшихъ, а҆ми́нь.

## Тогѡ́жде, д҃:

Нѣ́смь дово́ленъ, влⷣко гдⷭ҇и, да вни́деши подъ кро́въ дꙋшѝ моеѧ̀: но поне́же хо́щеши ты̀ ꙗ҆́кѡ чл҃вѣколю́бецъ жи́ти во мнѣ̀, дерза́ѧ пристꙋпа́ю: повелѣва́еши, да ѿве́рзꙋ две́ри, ꙗ҆̀же ты̀ є҆ди́нъ созда́лъ є҆сѝ, и҆ вни́деши со чл҃вѣколю́бїемъ ꙗ҆́коже є҆сѝ: вни́деши и҆ просвѣща́еши помраче́нный мо́й по́мыслъ. вѣ́рꙋю, ꙗ҆́кѡ сїѐ сотвори́ши: не бо̀ блꙋдни́цꙋ со слеза́ми прише́дшꙋю къ тебѣ̀ ѿгна́лъ є҆сѝ: нижѐ мытарѧ̀ ѿве́ргъ є҆сѝ пока́ѧвшасѧ: нижѐ разбо́йника позна́вша црⷭ҇тво твоѐ ѿгна́лъ є҆сѝ: нижѐ гони́телѧ пока́ѧвшасѧ ѡ҆ста́вилъ є҆сѝ є҆́же бѣ̀: но ѿ покаѧ́нїѧ тебѣ̀ прише́дшыѧ, всѧ̑ въ ли́цѣ твои́хъ дрꙋгѡ́въ вчини́лъ є҆сѝ, є҆ди́нъ сы́й бл҃гослове́нный всегда̀, ны́нѣ и҆ въ безконе́чныѧ вѣ́ки, а҆ми́нь.

## Тогѡ́жде, є҃:

Гдⷭ҇и і҆и҃се хрⷭ҇тѐ бж҃е мо́й, ѡ҆сла́би, ѡ҆ста́ви, ѡ҆чи́сти, и҆ прости́ ми грѣ́шномꙋ, и҆ непотре́бномꙋ, и҆ недосто́йномꙋ рабꙋ̀ твоемꙋ̀ прегрѣше́нїѧ, и҆ согрѣше́нїѧ, и҆ грѣхопаде́нїѧ моѧ̑, є҆ли̑ка тѝ ѿ ю҆́ности моеѧ̀ да́же до настоѧ́щагѡ днѐ и҆ часа̀ согрѣши́хъ, а҆́ще въ ра́зꙋмѣ и҆ въ неразꙋ́мїи, а҆́ще въ словесѣ́хъ и҆лѝ дѣ́лѣхъ, и҆лѝ помышле́нїихъ и҆ мы́слехъ, и҆ начина́нїихъ, и҆ всѣ́хъ мои́хъ чꙋ́вствахъ. и҆ мл҃твами безсѣ́меннѡ ро́ждшїѧ тѧ̀, прⷭ҇чтыѧ и҆ приснодв҃ы мр҃і́и

αἰσθήσεσι. Καὶ τῇ πρεσβείᾳ τῆς ἀσπόρως κυησάσης σε παναχράντου καὶ ἀειπαρθένου Μαρίας τῆς Μητρός σου, τῆς μόνης ἀκαταισχύντου ἐλπίδος καὶ προστασίας καὶ σωτηρίας μου, καταξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν ἀχράντων καὶ ἀθανάτων καὶ ζωοποιῶν καὶ φρικτῶν Μυστηρίων σου, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον· εἰς ἁγιασμὸν καὶ φωτισμὸν καὶ ῥώμην καὶ ἴασιν καὶ ὑγείαν ψυχῆς τε καὶ σώματος· καὶ εἰς ἐξάλειψιν καὶ παντελῆ ἀφανισμὸν τῶν πονηρῶν μου λογισμῶν καὶ ἐνθυμήσεων καὶ προλήψεων καὶ νυκτερινῶν φαντασιῶν τῶν σκοτεινῶν καὶ πονηρῶν πνευμάτων. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Εὐχὴ ϛ΄. Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἐξουσίαν ἀνθρώποις ἀφιέναι ἁμαρτίας, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, πάριδέ μου πάντα τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ πταίσματα, καὶ ἀξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν θείων καὶ ἐνδόξων καὶ ἀχράντων καὶ ζωοποιῶν σου Μυστηρίων, μὴ εἰς κόλασιν, μὴ εἰς προσθήκην ἁμαρτιῶν, ἀλλ᾽ εἰς καθαρισμὸν καὶ ἁγιασμὸν καὶ ἀῤῥαβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας· εἰς τεῖχος καὶ βοήθειαν καὶ ἀνατροπὴν τῶν ἐναντίων καὶ εἰς ἐξάλειψιν τῶν πολλῶν μου πλημμελημάτων. Σὺ γὰρ εἶ Θεὸς ἐλέους καὶ οἰκτιρμῶν καὶ φιλανθρωπίας, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



м҃тре твоеѧ̀, є҆ди́ныѧ непостыдныѧ надє́жды и҆ предста́тельства и҆ сп҃се́нїѧ моегѡ̀, сподо́би мѧ̀ неѡсꙋжде́ннѡ прича́ститисѧ прчⷭ҇тыхъ, безсме́ртныхъ, животворѧ́щихъ, и҆ стра́шныхъ твои́хъ та́инствъ, во ѡ҆ставле́нїе грѣхѡ́въ и҆ въ жи́знь вѣ́чнꙋю: во ѡ҆свѧще́нїе, и҆ просвѣще́нїе, крѣ́пость, и҆сцѣле́нїе, и҆ здра́вїе дꙋши́ же и҆ тѣ́ла, и҆ въ потребле́нїе и҆ всесоверше́нное погꙋбле́нїе лꙋка́выхъ мои́хъ помыслѡ́въ, и҆ помышле́нїй, и҆ предпрїѧ́тїй, и҆ нощны́хъ мечта́нїй, те́мныхъ и҆ лꙋка́выхъ дꙋхѡ́въ: ꙗ҆́кѡ твоѐ є҆́сть црⷭ҇тво, и҆ си́ла, и҆ сла́ва, и҆ че́сть и҆ поклоне́нїе, со ѻ҆ц҃е́мъ и҆ ст҃ы́мъ твои́мъ дх҃омъ, ны́нѣ и҆ при́снѡ, и҆ во вѣ́ки вѣкѡ́въ, а҆ми́нь.

### Мл҃тва ѕ҃, бж҃е́ственнагѡ дамаски́на,

Вл҃ко гд҇и і҆и҃се хрⷭ҇тѐ бж҃е на́шъ, є҆ди́не и҆мѣ́ѧй вла́сть человѣ́кѡмъ ѡ҆ставлѧ́ти грѣхѝ: ꙗ҆́кѡ бл҃гъ и҆ чл҃вѣколю́бецъ пре́зри моѧ̑ всѧ̑ въ вѣ́дѣнїи и҆ не въ вѣ́дѣнїи прегрѣше̑нїѧ. И҆ сподо́би мѧ̀ неѡсꙋжде́ннѡ прича́ститисѧ бж҃е́ственныхъ, и҆ пресла́вныхъ, и҆ прчⷭ҇тыхъ, и҆ животворѧ́щихъ твои́хъ та҃инъ: не въ тѧ́жесть, ни въ мꙋ́кꙋ, ни въ приложе́нїе грѣхѡ́въ, но во ѡ҆чище́нїе, и҆ ѡ҆свѧще́нїе, и҆ ѡ҆брꙋче́нїе бꙋ́дꙋщагѡ живота̀ и҆ црⷭ҇твїѧ, въ стѣ́нꙋ и҆ по́мощь, и҆ въ возраже́нїе сопроти́вныхъ, во и҆стребле́нїе мно́гихъ мои́хъ согрѣше́нїй. Ты́ бо є҆сѝ бг҃ъ млⷭ҇ти, и҆ щедро́тъ, и҆ чл҃вѣколю́бїѧ и҆ тебѣ̀ сла́вꙋ возсыла́емъ со ѻ҆ц҃е́мъ и҆ ст҃ы́мъ дх҃омъ, ны́нѣ и҆ при́снѡ, и҆ во вѣ́ки вѣкѡ́въ, а҆ми́нь.

## Εὐχὴ ζ΄. Συμεὼν τοῦ νέου Θεολόγου.

Ἀπὸ ῥυπαρῶν χειλέων,
ἀπὸ βδελυρᾶς καρδίας,
ἀπὸ ἀκαθάρτου γλώττης,
ἐκ ψυχῆς ἐῤῥυπωμένης,
δέξαι δέησιν, Χριστέ μου·
καὶ μὴ παρωσάμενός μου,
μὴ τοὺς λόγους, μὴ τοὺς τρόπους,
μηδὲ τὴν ἀναισχυντίαν,
δός μοι παῤῥησίᾳ λέγειν,
ἃ βεβούλευμαι, Χριστέ μου,
μᾶλλον δὲ καὶ δίδαξόν με,
τί με δεῖ ποιεῖν καὶ λέγειν.
Ἥμαρτον ὑπὲρ τὴν Πόρνην
ἥ μαθοῦσα ποῦ κατάγεις,
μύρον ἐξωνησαμένη,
ἦλθε τολμηρῶς ἀλεῖψαι,
σοῦ τοὺς πόδας τοῦ Χριστοῦ μου,
τοῦ Δεσπότου καὶ Θεοῦ μου.
Ὡς ἐκείνην οὐκ ἀπώσω,
προσελθοῦσαν ἐκ καρδίας,
μηδ’ ἐμὲ βδελύξῃ, Λόγε,
σοὺς δὲ πάρασχέ μοι πόδας
καὶ κρατῆσαι καὶ φιλῆσαι,
καὶ τῷ ῥείθρῳ τῶν δακρύων,
ὡς πολυτιμήτῳ μύρῳ,
τούτους τολμηρῶς ἀλεῖψαι.
Πλῦνόν με τοῖς δάκρυσί μου,
κάθαρον αὐτοῖς με, Λόγε,
ἄφες καὶ τὰ πταίσματά μου,



## Мл҃тва з҃, сѷмеѡ́на но́вагѡ бг҃осло́ва:

Ѿ скве́рныхъ ᲂу҆сте́нъ,
ѿ ме́рзкаго се́рдца,
ѿ нечи́стагѡ ѧ҆зы́ка,
ѿ дꙋшѝ ѡ҆скверне́ны,
Прїимѝ моле́нїе хрⷭ҇тѐ мо́й,
и҆ не пре́зри мои́хъ,
Ни слове́съ, нижѐ ѡ҆бразѡ́въ,
нижѐ безстꙋ́дїѧ.
Да́ждь мѝ дерзнове́ннѡ глаго́лати,
ꙗ҆̀же хощꙋ̀ хрⷭ҇тѐ мо́й.
Па́че же и҆ наꙋчи́ мѧ,
что́ ми подоба́етъ твори́ти и҆ глаго́лати.
Согрѣши́хъ па́че блꙋдни́цы,
ꙗ҆́же ᲂу҆вѣ́дѣ, гдѣ̀ ѡ҆бита́еши,
Мѵ́ро кꙋпи́вши,
прїи́де де́рзостнѣ пома́зати
Твоѝ но́зѣ, бг҃а моегѡ̀,
влⷣки, и҆ хрⷭ҇та̀ моегѡ̀.
Ꙗ҆́коже ѻ҆́нꙋ не ѿри́нꙋлъ є҆сѝ
пришє́дшꙋю ѿ се́рдца,
Нижѐ менѐ возгнꙋша́йсѧ сло́ве,
твои́ же мѝ пода́ждь но́зѣ,
И҆ держа́ти и҆ цѣлова́ти,
и҆ стрꙋѧ́ми сле́зными,
Ꙗ҆́кѡ многоцѣ́ннымъ мѵ́ромъ
сїѧ̑ де́рзостнѡ пома́зати.
Ѡ҆мы́й мѧ̀ слеза́ми мои́ми,
ѡ҆чи́сти мѧ̀ и҆́ми, сло́ве,
Ѡ҆ста́ви и҆ прегрѣшє́нїѧ моѧ̑,

καὶ συγγνώμην πάρασχέ μοι.
Οἶδας τῶν κακῶν τὸ πλῆθος,
οἶδας καὶ τὰ τραύματά μου·
καὶ τοὺς μώλωπας ὁρᾷς μου·
ἀλλὰ καὶ τὴν πίστιν οἶδας
καὶ τὴν προθυμίαν βλέπεις
καὶ τοὺς στεναγμοὺς ἀκούεις.
Οὐ λανθάνει σε, Θεέ μου,
ποιητά μου, λυτρωτά μου,
οὐδὲ σταλαγμὸς δακρύων,
οὐδὲ σταλαγμοῦ τι μέρος.
Τὸ μὲν ἀκατέργαστόν μου
ἔγνωσαν οἱ ὀφθαλμοί σου·
ἐπὶ τὸ βιβλίον δέ σου,
καὶ τὰ μήπω πεπραγμένα,
γεγραμμένα σοι τυγχάνει.
Ἴδε τὴν ταπείνωσίν μου,
ἴδε μου τὸν κόπον, ὅσος!
καὶ τὰς ἁμαρτίας πάσας
ἄφες μοι, Θεὲ τῶν ὅλων,
ἵνα καθαρᾷ καρδίᾳ,
περιτρόμῳ διανοίᾳ
καὶ ψυχῇ συντετριμμένῃ,
τῶν ἀχράντων σου μετάσχω
καὶ πανάγνων μυστηρίων,
οἷς ζωοῦται καὶ θεοῦται
πᾶς ὁ τρώγων σε καὶ πίνων
ἐξ εἰλικρινοῦς καρδίας.
Σὺ γὰρ εἶπας, Δέσποτά μου·
Πᾶς ὁ τρώγων μου τὴν Σάρκα,



и҆ проще́нїе мѝ пода́ждь.
Вѣ́си ѕѡ́лъ мно́жество,
вѣ́си и҆ стрꙋ́пы моѧ҄:
И҆ ꙗ҆́звы зри́ши моѧ҄:
но и҆ вѣ́рꙋ вѣ́си,
И҆ произволе́нїе зри́ши,
и҆ воздыха́нїе слы́шиши.
Не таи́тсѧ тебѣ̀ бж҃е мо́й,
тво́рче мо́й, и҆зба́вителю мо́й,
Ни́же ка́плѧ сле́знаѧ,
ни́же ка́пли ча́сть нѣ́каѧ.
Несодѣ́ланное моѐ
ви́дѣстѣ ѻ҆́чи твоѝ.
Въ кни́зѣ же твое́й
и҆ є҆щѐ несодѣ̑ѧннаѧ,
Напи̑сана тебѣ̀ сꙋ́ть.
Ви́ждь смире́нїе моѐ,
Ви́ждь трꙋ́дъ мо́й є҆́ликъ,
и҆ грѣхѝ всѧ҄
Ѿста́ви мѝ бж҃е всѧ́ческихъ,
да чи́стымъ се́рдцемъ,
Притре́петною мы́слїю
и҆ дꙋше́ю сокрꙋше́нною,
Нескве́рныхъ твои́хъ причащꙋ́сѧ
и҆ прест҃ы́хъ та̑инъ,
И҆́миже ѡ҆живлѧ́етсѧ и҆ ѡ҆божа́етсѧ
всѧ́къ ꙗ҆ды́й же и҆ пїѧ́й,
Чи́стымъ се́рдцемъ.
Ты́ бо ре́клъ є҆сѝ вл҇ко мо́й:
Всѧ́къ ꙗ҆ды́й моѭ̀ пло́ть,

πίνων δέ μου καὶ τὸ Αἷμα,
ἐν ἐμοὶ μὲν οὗτος μένει,
ἐν αὐτῷ δ᾽ ἐγὼ τυγχάνω.
Ἀληθὴς ὁ λόγος πάντως
τοῦ Δεσπότου καὶ Θεοῦ μου.
Τῶν γὰρ θείων ὁ μετέχων
καὶ θεοποιῶν χαρίτων,
οὔμενουν, οὐκ ἔστι μόνος,
ἀλλὰ μετὰ σοῦ, Χριστέ μου,
τοῦ φωτὸς τοῦ τρισηλίου,
τοῦ φωτίζοντος τὸν κόσμον.
Ἵνα γοῦν μὴ μόνος μένω
δίχα σοῦ τοῦ Ζωοδότου,
τῆς πνοῆς μου, τῆς ζωῆς μου,
τοῦ ἀγαλλιάματός μου,
τῆς τοῦ κόσμου σωτηρίας,
διὰ τοῦτό σοι προσῆλθον,
ὡς ὁρᾷς μετὰ δακρύων
καὶ ψυχῆς συντετριμμένης,
λύτρον τῶν ἐμῶν πταισμάτων
ἱκετεύων τοῦ λαβεῖν με,
καὶ τῶν σῶν ζωοπαρόχων
καὶ ἀμέμπτων Μυστηρίων
μετασχεῖν ἀκατακρίτως,
ἵνα μείνῃς, καθὼς εἶπας,
μετ᾽ ἐμοῦ τοῦ τρισαθλίου·
ἵνα μή, χωρὶς εὑρών με
τῆς σῆς χάριτος, ὁ πλάνος,
ἀφαρπάσῃ με δολίως,
καὶ πλανήσας ἀπαγάγῃ



и҆ пі́ѧй мою̀ кро́вь,
Во мнѣ̀ ѹ҆́бѡ се́й пребыва́етъ,
въ не́мже и҆ а҆́зъ є҆́смь.
И҆́стинно сло́во всѧ́ко
вл҃ки и҆ бг҃а моегѡ̀:
Бж҃е́ственныхъ бо причаща́ѧйсѧ,
и҆ бг҃отворѧ́щихъ бл҃года́тей,
Не ѹ҆́бѡ є҆́смь є҆ди́нъ,
но съ тобо́ю хр҃тѐ мо́й,
Свѣ́томъ трисо́лнечнымъ,
просвѣща́ющимъ мі́ръ.
Да ѹ҆́бѡ не є҆ди́нъ пребꙋ́дꙋ
кромѣ̀ тебѐ живода́вца,
дыха́нїѧ моегѡ̀, живота̀ моегѡ̀,
ра́дованїѧ моегѡ̀,
Сп҃се́нїѧ мі́рꙋ:
сегѡ̀ ра́ди къ тебѣ̀ приствпи́хъ,
Ꙗ҆́коже зри́ши, со слеза́ми,
и҆ дꙋше́ю сокрꙋше́нною,
И҆збавле́нїе мои́хъ прегрѣше́нїй
прошꙋ̀ прїѧ́ти мѝ:
И҆ твои́хъ живода́тельныхъ
и҆ непоро́чныхъ та́инствъ
причасти́тисѧ неѡсꙋжде́ннѡ,
да пребꙋ́деши, ꙗ҆́коже ре́клъ є҆сѝ,
Со мно́ю треѻка́ѧннымъ:
да не кромѣ̀ ѡ҆брѣ́тъ мѧ̀
Твоеѧ̀ бл҃года́ти, преле́стникъ
восхи́титъ мѧ̀ льсти́внѣ:
И҆ прельсти́въ ѿведе́тъ

τῶν θεοποιῶν σου λόγων.
Διὰ τοῦτό σοι προσπίπτω
καὶ θερμῶς ἀναβοῶ σοι·
Ὡς τὸν Ἄσωτον ἐδέξω,
καὶ τὴν Πόρνην προσελθοῦσαν,
οὕτω δέξαι με τὸν πόρνον
καὶ τὸν ἄσωτον, Οἰκτίρμον,
ἐν ψυχῇ συντετριμμένῃ
νῦν με, προσερχόμενόν σοι.
Οἶδα, Σῶτερ, ὅτι ἄλλος,
ὡς ἐγώ, οὐκ ἔπταισέ σοι
οὐδὲ ἔπραξε τὰς πράξεις,
ἃς ἐγὼ κατειργασάμην.
Ἀλλὰ τοῦτο πάλιν οἶδα,
ὡς οὐ μέγεθος πταισμάτων,
οὐχ ἁμαρτημάτων πλῆθος,
ὑπερβαίνει τοῦ Θεοῦ μου
τὴν πολλὴν μακροθυμίαν,
καὶ φιλανθρωπίαν ἄκραν·
ἀλλ’ ἐλαίῳ συμπαθείας,
τοὺς θερμῶς μετανοοῦντας,
καὶ καθαίρεις καὶ λαμπρύνεις
καὶ φωτὸς ποιεῖς μετόχους,
κοινωνοὺς Θεότητός σου
ἐργαζόμενος ἀφθόνως·
καί, τὸ ξένον καὶ ἀγγέλοις
καὶ ἀνθρώπων διανοίαις,
ὁμιλεῖς αὐτοῖς πολλάκις,
ὥσπερ φίλοις σου γνησίοις.
Ταῦτα τολμηρὸν ποιεῖ με,



бл҃готворѧ́щихъ твои́хъ слове́съ.
Сегѡ̀ ра́ди къ тебѣ̀ припа́даю,
и҆ те́плѣ вопїю́ ти:
Ꙗ҆́коже блꙋ́днаго прїѧ́лъ є҆сѝ,
и҆ блꙋдни́цꙋ прише́дшꙋю,
Та́кѡ прїими́ мѧ блꙋ́днаго
и҆ скве́рнаго ще́дре.
Дꙋше́ю сокрꙋше́нною,
ны́нѣ бо къ тебѣ̀ приходѧ̀,
Вѣ́мъ сп҃се, ꙗ҆́кѡ и҆ны́й,
ꙗ҆́коже а҆́зъ, не прегрѣшѝ тебѣ̀,
Нижѐ содѣ́ѧ дѣѧ̑нїѧ,
ꙗ҆̀же а҆́зъ содѣ́ѧхъ.
Но сїѐ па́ки вѣ́мъ,
ꙗ҆́кѡ ни вели́чество прегрѣше́нїй,
Ни грѣхѡ́въ мно́жество
превосхо́дитъ бг҃а моегѡ̀
Мно́гое долготерпѣ́нїе,
и҆ чл҃вѣколю́бїе кра́йнее:
Но млⷭ҇тїю состра́стїѧ
те́плѣ ка́ющыѧсѧ,
И҆ чи́стиши, и҆ свѣ́тлиши,
и҆ свѣ́та твори́ши прича́стники,
Ѻ҆́бщники бж҃ества̀ твоегѡ̀
содѣ́ловаѧй незави́стнѡ.
И҆ стра́нное и҆ а҆́гг҃лѡмъ
и҆ человѣ́ческимъ мы́слемъ,
Бесѣ́дꙋеши и҆̀мъ мно́гажды,
ꙗ҆́коже дрꙋгѡ́мъ твои̑мъ и҆́стиннымъ.
Сїѧ̑ де́рзостна творѧ́тъ мѧ̀,

ταῦτά με πτεροῖ, Χριστέ μου·
καὶ θαῤῥῶν ταῖς σαῖς πλουσίαις
πρὸς ἡμᾶς εὐεργεσίαις,
χαίρων τε καὶ τρέμων ἅμα,
τοῦ πυρὸς μεταλαμβάνω,
χόρτος ὤν, καὶ ξένον θαῦμα!
δροσιζόμενος ἀφράστως
ὥσπεροῦν ἡ βάτος πάλαι,
ἡ ἀφλέκτως καιομένη.
Τοίνυν εὐχαρίστῳ γνώμῃ,
εὐχαρίστῳ δὲ καρδίᾳ,
εὐχαρίστοις μέλεσί μου,
τῆς ψυχῆς καὶ τῆς σαρκός μου
προσκυνῶ, καὶ μεγαλύνω
καὶ δοξάζω σε, Θεέ μου,
ὡς εὐλογημένον ὄντα
νῦν τε καὶ εἰς τοὺς αἰῶνας.

Εὐχὴ η´. Συμεὼν τοῦ Μεταφραστοῦ.

Ὁ μόνος καθαρὸς καὶ ἀκήρατος Κύριος, ὁ δι' οἶκτον φιλανθρωπίας ἀνεκδιήγητον τὸ ἡμέτερον ὅλον προσλαβόμενος φύραμα, ἐκ τῶν ἁγνῶν καὶ παρθενικῶν αἱμάτων τῆς ὑπερφυῶς κυησάσης σε, Πνεύματος θείου ἐπελεύσει καὶ εὐδοκίᾳ Πατρὸς ἀϊδίου, Χριστὲ Ἰησοῦ, σοφία Θεοῦ καὶ εἰρήνη καὶ δύναμις· ὁ τῷ προσλήμματί σου τὰ ζωοποιὰ καὶ σωτήρια πάθη καταδεξάμενος, τὸν Σταυρόν, τοὺς ἥλους, τὴν λόγχην, τὸν θάνατον, νέκρωσόν μου τὰ ψυχοφθόρα πάθη τοῦ σώματος. Ὁ τῇ ταφῇ σου τὰ τοῦ ᾅδου σκυλεύσας βασίλεια, θάψον μου διὰ τῶν ἀγαθῶν λογισμῶν τὰ πονηρὰ διαβούλια, καὶ τὰ τῆς πονηρίας πνεύματα διασκέδασον. Ὁ τῇ τριημέρῳ



сїѧ̑ вперѧ́ютъ мѧ̀ хрⷭ҇тѐ мо́й.
И҆ дерза́ѧ твои̑мъ бога̑тымъ
къ на́мъ бл҃годѣѧ́нїемъ,
Ра́дꙋѧсѧ вкꙋ́пѣ и҆ трепе́щѧ,
Ѻ҆гне́ви причаща́юсѧ,
Трава̀ сы́й: и҆ стра́нно чꙋ́до!
ѡ҆роша́емь неѡпа́льнѡ,
Ꙗ҆́коже ѹ҆́бѡ кꙋпина̀ дре́вле
неѡпа́льнѣ горѧ́щи.
Ны́нѣ бл҃года́рною мы́слїю,
бл҃года́рнымъ же се́рдцемъ,
Бл҃года́рными ѹ҆́десы̀ мои́ми,
дꙋшѝ и҆ тѣ́ла моегѡ̀,
Покланѧ́юсѧ и҆ велича́ю,
и҆ славосло́влю тѧ̀ бж҃е мо́й,
Ꙗ҆́кѡ бл҃гослове́на сꙋ́ща,
ны́нѣ же и҆ во вѣ́ки.

Мл҃тва и҃, сѷмеѡ́на метафра́ста:

Є҆ди́не чⷭ҇тый и҆ нетлѣ́нный гдⷭ҇и, за неизрече́ннꙋю млⷭ҇ть чл҃вѣколю́бїѧ, на́ше всѐ воспрїе́мый смѣше́нїе ѿ чⷭ҇тыхъ и҆ дѣ́вственныхъ крове́й, па́че є҆стества̀ ро́ждшїѧ тѧ̀ дх҃а бж҃е́ственнагѡ наше́ствїемъ, и҆ бл҃говоле́нїемъ ѻ҆ц҃а̀ присносꙋ́щнагѡ хрⷭ҇тѐ і҆и҃се, премꙋ́дросте бж҃їѧ, и҆ ми́ре и҆ си́ло: твои́мъ воспрїѧ́тїемъ животворѧ̑щаѧ, и҆ сп҃си́тельнаѧ страда̑нїѧ воспрїе́мый, крⷭ҇тъ, гвѡ́здїѧ, копїѐ, сме́рть, ѹ҆мертвѝ моѧ̑ дꙋшетлѣ̑нныѧ стра̑сти тѣле́сныѧ. погребе́нїемъ твои́мъ а҆́дѡва плѣни́вый ца̑рствїѧ, погребѝ моѧ̑ бл҃ги́ми по́мыслы лꙋка̑ваѧ совѣ́тованїѧ,

σου καὶ ζωηφόρῳ Ἀναστάσει τὸν πεπτωκότα προπάτορα ἀναστήσας, ἀνάστησόν με τῇ ἁμαρτίᾳ κατολισθήσαντα, τρόπους μοι μετανοίας ὑποτιθέμενος. Ὁ τῇ ἐνδόξῳ σου Ἀναλήψει τῆς σαρκὸς θεώσας τὸ πρόσλημμα καὶ τοῦτο τῇ δεξιᾷ καθέδρᾳ τιμήσας τοῦ Πατρός, ἀξίωσόν με, διὰ τῆς τῶν ἁγίων σου Μυστηρίων μεταλήψεως, τῆς δεξιᾶς μερίδος τῶν σῳζομένων τυχεῖν. Ὁ τῇ ἐπιδημίᾳ τοῦ παρακλήτου Πνεύματος σκεύη τίμια τοὺς ἱερούς σου Μαθητὰς ἐργασάμενος, δοχεῖον κἀμὲ τῆς αὐτοῦ ἀνάδειξον ἐπελεύσεως. Ὁ μέλλων πάλιν ἔρχεσθαι κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, εὐδόκησον κἀμὲ προϋπαντῆσαί σοι ἐν νεφέλαις τῷ Ποιητῇ καὶ Πλάστῃ μου σὺν πᾶσι τοῖς Ἁγίοις σου· ἵνα ἀτελευτήτως δοξολογῶ καὶ ἀνυμνῶ σε, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Εὐχὴ θ΄. Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Πρὸ τῶν θυρῶν τοῦ ναοῦ σου παρέστηκα καὶ τῶν δεινῶν λογισμῶν οὐκ ἀφίσταμαι, ἀλλὰ σύ, Χριστὲ ὁ Θεός, ὁ Τελώνην δικαιώσας καὶ Χαναναίαν ἐλεήσας καὶ τῷ Ληστῇ Παραδείσου πύλας ἀνοίξας, ἄνοιξόν μοι τὰ σπλάγχνα τῆς φιλανθρωπίας σου καὶ δέξαι με προσερχόμενον καὶ ἁπτόμενόν σου, ὡς τὴν Πόρνην καὶ τὴν Αἱμοῤῥοουν· ἡ μὲν γάρ, τοῦ κρασπέδου σου ἁψαμένη, εὐχερῶς τὴν ἴασιν ἔλαβεν, ἡ δέ, τοὺς σοὺς ἀχράντους πόδας κρατήσασα, τὴν λύσιν τῶν ἁμαρτημάτων ἐκομίσατο. Ἐγὼ δὲ ὁ ἐλεεινός, ὅλον Σου τὸ Σῶμα τολμῶν δέξασθαι, μὴ καταφλεχθείην· ἀλλὰ δέξαι με, ὥσπερ ἐκείνας, καὶ φώτισόν μου τὰ τῆς ψυχῆς



и҆ лꙋка́вствїѧ дꙋ́хи разорѝ. тридне́внымъ твои́мъ, и҆ живоно́снымъ воскр҇нїемъ па́дшаго пра́ѻтца возста́вивый, возста́ви мѧ̀ грѣхо́мъ попо́лзшагосѧ, ѡ҆́бразы мнѣ̀ пока́ѧнїѧ предлага́ѧ. пресла́внымъ твои́мъ вознесе́нїемъ, плотско́е ѡ҆божи́вый воспрїѧ́тїе, и҆ сїѐ десны́мъ ѻ҆ц҃а̀ сѣдѣ́нїемъ почты́й, сподо́би мѧ̀ прича́стїемъ ст҃ы́хъ твои́хъ та̑инъ десню́ю ча́сть сп҃са́емыхъ полꙋчи́ти. сни́тїемъ ᲂу҆тѣ́шителѧ твоегѡ̀ д҃ха, сосꙋ́ды ч҇тны сщ҃е́нныѧ твоѧ̑ ᲂу҆ч҃нкѝ со-дѣ́лавый, прїѧ́телище и҆ менѐ покажѝ тогѡ̀ прише́ствїѧ. хотѧ́й па́ки прїитѝ сꙋди́ти вселе́ннѣй пра́вдою, бл҃говолѝ и҆ мнѣ̀ ᲂу҆срѣ́сти тѧ̀ на ѻ҆́блацѣхъ сꙋдїю̀, и҆ созда́телѧ моегѡ̀, со всѣ́ми ст҃ы́ми твои́ми: да безконе́чнѡ славосло́влю и҆ воспѣва́ю тѧ̀, со безнача́льнымъ твои́мъ ѻ҆ц҃е́мъ, и҆ прест҃ы́мъ, и҆ бл҃ги́мъ, и҆ животворѧ́щимъ твои́мъ д҃хомъ, ны́нѣ и҆ при́снѡ, и҆ во вѣ́ки вѣкѡ́въ, а҆ми́нь.

### Мл҃тва ѳ҃, і҆ѡа́нна дамаски́на:

Пред̾ две́рьми хра́ма твоегѡ̀ предстою̀, и҆ лю́тыхъ помышле́нїй не ѿстꙋпа́ю: но ты̀ хр҇тѐ бж҃е, мытарѧ̀ ѡ҆правди́вый, и҆ ханане́ю поми́ловавый, и҆ разбо́йникꙋ рѧ̀ две́ри ѿве́рзый, ѿве́рзи мѝ ᲂу҆тро́бы чл҃вѣколю́бїѧ твоегѡ̀, и҆ прїими́ мѧ прихо́дѧща и҆ прикаса́ющасѧ тебѣ̀, ꙗ҆́кѡ блꙋдни́цꙋ, и҆ кровоточи́вꙋю: ѻ҆́ва ᲂу҆́бѡ кра́ѧ ри́зы твоеѧ̀ коснꙋ́вшисѧ, ᲂу҆до́бь и҆сцѣле́нїе прїѧ́тъ: ѻ҆́ва же преч҇тѣи твоѝ но́зѣ ᲂу҆держа́вши, разрѣше́нїе грѣхѡ́въ понесѐ. а҆́зъ же ѻ҆ка́ѧнный всѐ твоѐ тѣ́ло дерза́ѧ воспрїѧ́ти, да не ѡ҆пале́нъ бꙋ́дꙋ: но прїими́ мѧ ꙗ҆́коже ѻ҆́ныѧ, и҆

αἰσθητήρια, καταφλέγων μου τὰ τῆς ἁμαρτίας ἐγκλήματα, πρεσβείαις τῆς ἀσπόρως τεκούσης σε καὶ τῶν ἐπουρανίων δυνάμεων. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ι΄. Ἰωάννου τοῦ Χρυσοστόμου.

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ ὅτι σὺ εἶ ἀληθῶς ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος εἰμὶ ἐγώ. Ἔτι πιστεύω ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου· Ἐλέησόν με καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.

Ἀπερχόμενος δὲ μεταλαβεῖν, λέγε τοὺς παρόντας Στίχους Συμεὼν τοῦ Μεταφραστοῦ.

Ἰδού, βαδίζω πρὸς θείαν Κοινωνίαν·
Πλαστουργέ, μὴ φλέξῃς με τῇ μετουσίᾳ·
Πῦρ γὰρ ὑπάρχεις τοὺς ἀναξίους φλέγον.
Ἀλλ' οὖν κάθαρον ἐκ πάσης με κηλῖδος.

Εἶτα τὸ Τροπάριον·

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ Μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ Ληστὴς ὁμολογῶ σοι· Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Εἶτα τοὺς παρόντας Στίχους.

Θεουργὸν Αἷμα φρῖξον, ἄνθρωπε, βλέπων·
Ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων·



просвѣтѝ моѧ̑ дꙋшє́внаѧ чꙋ̑вства, попалѧ́ѧ моѧ̑ грѣхѡ́вныѧ вины̑: мл҃твами безсѣ́меннѡ ро́ждшїѧ тѧ̀, и҆ нб҃ныхъ си́лъ, ꙗ҆́кѡ бл҃гослове́нъ є҆сѝ во вѣ́ки вѣкѡ́въ, а҆ми́нь.

Мл҃тва і҃, златоꙋ́стагѡ:

Вѣ́рꙋю гдⷭ҇и, и҆ и҆сповѣ́дꙋю, ꙗ҆́кѡ ты̀ є҆сѝ вои́стиннꙋ хрⷭ҇то́съ сн҃ъ бг҃а жива́гѡ, прише́дый въ мі́ръ грѣ̑шныѧ сп҃стѝ, ѿ ни́хже пе́рвый є҆́смь а҆́зъ. Є҆щѐ вѣ́рꙋю, ꙗ҆́кѡ сїѐ є҆́сть са́мое прчⷭ҇тое тѣ́ло твоѐ, и҆ сїѧ̀ са́маѧ є҆́сть чⷭ҇тна́ѧ кро́вь твоѧ̀. Молю́сѧ ᲂу҆́бѡ тебѣ̀: поми́лꙋй мѧ̀, и҆ прости́ ми прегрѣшє́нїѧ моѧ̑, вѡ́льнаѧ и҆ невѡ́льнаѧ, ꙗ҆̀же сло́вомъ, ꙗ҆̀же дѣ́ломъ, ꙗ҆̀же вѣ́дѣнїемъ и҆ невѣ́дѣнїемъ: и҆ сподо́би мѧ̀ неѡсꙋжде́ннѡ причасти́тисѧ прчⷭ҇тыхъ твои́хъ та́инствъ, во ѡ҆ставле́нїе грѣхѡ́въ и҆ въ жи́знь вѣ́чнꙋю, а҆ми́нь.

Приходѧ́й же причасти́тисѧ, глаго́ли въ себѣ̀ настоѧ́щыѧ стїхѝ метафра́ста:

Сѐ пристꙋпа́ю къ бж҃е́ственномꙋ причаще́нїю,
Содѣ́телю, да не ѡ҆пали́ши мѧ̀ прїѡбще́нїемъ:
Ѻ҆́гнь бо є҆сѝ недостѡ́йныѧ попалѧ́ѧй.
Но ᲂу҆́бѡ ѡ҆чи́сти мѧ̀ ѿ всѧ́кїѧ скве́рны.

Та́же па́ки глаго́ли:

Ве́чери твоеѧ̀ та́йныѧ дне́сь, сн҃е бж҃їй, прича́стника мѧ̀ прїимѝ: не бо̀ врагѡ́мъ твои̑мъ та́йнꙋ повѣ́мъ, ни лобза́нїѧ тѝ да́мъ ꙗ҆́кѡ ї҆ꙋ́да, но ꙗ҆́кѡ разбо́йникъ и҆сповѣ́даю тѧ̀: помѧни́ мѧ гдⷭ҇и во црⷭ҇твїи твое́мъ.

Па́ки стїхѝ сїѧ̑:

Бг҃отворѧ́щꙋю кро́вь ᲂу҆жасни́сѧ человѣ́че зрѧ̀:

Θεοῦ τὸ Σῶμα καὶ θεοῖ με καὶ τρέφει·
Θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως.

Καὶ τὰ Τροπάρια ταῦτα·

Ἔθελξας πόθῳ με, Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι· ἀλλὰ κατάφλεξον πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου, καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν μεγαλύνω, Ἀγαθέ, παρουσίας σου.

Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; Ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν ἀγγέλων. Καθάρισον, Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου καὶ σῶσόν με, ὡς φιλάνθρωπος.

Καὶ τὴν παροῦσαν Εὐχήν·

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ Ἅγια ταῦτα διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ᾽ εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἀῤῥαβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας. Ἐμοὶ δὲ τῷ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι· τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου.

Καὶ πάλιν·

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ Μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ Ληστὴς ὁμολογῶ σοι· Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.



Ѻ҆́гнь бо є҆́сть недостѡ́йныѧ попалѧ́ѧй.
Бж҃е́ственное тѣ́ло и҆ ѡ҆божа́етъ мѧ̀, и҆ пита́етъ.
Ѿбожа́етъ дх҃ъ, ᲂу҆́мъ же пита́етъ стра́ннѡ.

Та́же тропарѝ:

Ѹ҆слади́лъ мѧ̀ є҆сѝ любо́вїю хр҇тѐ, и҆ и҆змѣни́лъ мѧ̀ є҆сѝ бж҃е́ственнымъ твои́мъ раче́нїемъ. но попалѝ ѻ҆гне́мъ невеще́ственнымъ грѣхѝ моѧ҄, и҆ насы́титисѧ є҆́же въ тебѣ̀ наслажде́нїѧ сподо́би: да лику́ѧ возвелича́ю бл҃же, два̀ прише́ствїѧ твоѧ҄.

Во свѣ́тлостехъ ст҃ы́хъ твои́хъ, ка́кѡ вни́дꙋ недостѡ́йный; а҆́ще бо дерзнꙋ̀ совни́ти въ черто́гъ, ѻ҆де́жда мѧ̀ ѻ҆блича́етъ, ꙗ҆́кѡ нѣ́сть бра́чна, и҆ свѧ́занъ и҆зве́рженъ бꙋ́дꙋ ѿ а҆́гг҃лѡвъ: ѡ҆чи́сти гд҇и, скве́рнꙋ дꙋшѝ моеѧ̀, и҆ сп҃си́ мѧ, ꙗ҆́кѡ чл҃вѣколю́бецъ.

Та́же мл҃твꙋ:

Вл҃ко чл҃вѣколю́бче гд҇и і҆и҃се хр҇тѐ бж҃е мо́й, да не въ сꙋ́дъ мѝ бꙋ́дꙋтъ ст҃аѧ҄ сїѧ҄, за є҆́же недостѡ́йнꙋ мѝ бы́ти: но во ѡ҆чище́нїе и҆ ѡ҆ст҃е́нїе дꙋши́ же и҆ тѣ́ла, и҆ во ѡ҆брꙋче́нїе бꙋ́дꙋщїѧ жи́зни и҆ цр҇твїѧ. Мнѣ́ же є҆́же прилѣплѧ́тисѧ бг҃ꙋ, бл҃го є҆́сть, полага́ти во гд҇ѣ ᲂу҆пова́нїе сп҃се́нїѧ моегѡ̀.

И҆ па́ки:

Ве́чери твоеѧ̀ та́йныѧ дне́сь, сн҃е бж҃їй, прича́стника мѧ̀ прїимѝ: не бо̀ врагѡ́мъ твои́мъ та́йнꙋ повѣ́мъ, ни лобза́нїѧ тѝ да́мъ ꙗ҆́кѡ і҆ꙋ́да, но ꙗ҆́кѡ разбо́йникъ и҆сповѣ́даю тѧ̀: помѧни́ мѧ гд҇и во цр҇твїи твое́мъ.

# ΕΥΧΑΡΙΣΤΙΑ
# ΜΕΤΑ ΤΗΝ ΘΕΙΑΝ ΜΕΤΑΛΗΨΙΝ

### Στίχοι προτρεπτικοί.

Ἐπὰν δὲ τύχῃς τῆς καλῆς μετουσίας
Τῶν ζωοποιῶν μυστικῶν δωρημάτων,
Ὕμνησον εὐθύς, εὐχαρίστησον μέγα,
Καὶ τάδε θερμῶς ἐκ ψυχῆς Θεῷ λέγε·
Δόξα σοι, ὁ Θεός· δόξα σοι, ὁ Θεός· δόξα σοι, ὁ Θεός!

Καὶ εὐθὺς τὰς ἑπομένας εὐχαριστηρίους Εὐχάς.

### Ἀνωνύμου

Εὐχαριστῶ σοι, Κύριε, ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλόν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν ἁγιασμάτων σου κατηξίωσας. Εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου καὶ ἐπουρανίων δωρεῶν κατηξίωσας. Ἀλλά, Δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστὰς καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα καὶ ζωοποιά σου Μυστήρια, ἐπ’ εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, δὸς γενέσθαι ταῦτα κἀμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος καὶ τῆς σῆς βασιλείας οἰκείωσιν· ἵνα ἐν τῷ ἁγιασμῷ σου δι’ αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διὰ παντὸς καὶ μηκέτι ἐμαυτῷ ζῶ, ἀλλὰ σοὶ τῷ ἡμετέρῳ Δεσπότῃ καὶ εὐεργέτῃ. Καὶ οὕτω τοῦ τῆδε βίου ἀπάρας ἐπ’ ἐλπίδι ζωῆς αἰωνίου, εἰς τὴν ἀΐδιον καταντήσω ἀνάπαυσιν,



# Бл҃годáрственныѧ моли҄твы
# по ст҃ѣ́мъ причащéнїи

### Сті́хи оу҆вѣщевáтельныѧ

Є҆гдá же полꙋчи́ши дóбрагѡ причащéнїѧ,
Животворѧ́щихъ тáинственныхъ даровáнїй,
Воспо́й а҆́бїе, бл҃годарѝ вельмѝ,
И҆ сїѧ҄ тéплѣ ѿ дꙋши́ бг҃ꙋ глаго́ли:
Слáва тебѣ̀ бж҃е. Слáва тебѣ̀ бж҃е. Слáва тебѣ̀ бж҃е.

Тáже бл҃годáрственнꙋю сїю̀ мл҃твꙋ:

### Без̾ ті́тла

Бл҃годарю̀ тѧ гдⷭ҇и бж҃е, мо́й, ꙗ҆́кѡ не ѿри́нꙋлъ мѧ̀ є҆сѝ грѣ́шнаго, но ѻ҆́бщника мѧ̀ бы́ти ст҃ы́нь твои́хъ сподо́билъ є҆сѝ. бл҃годарю́ тѧ, ꙗ҆́кѡ менѐ недосто́йнаго причасти́тисѧ прчⷭ҇тыхъ твои́хъ и҆ нбⷭ҇ныхъ дарѡ́въ сподо́билъ є҆сѝ. но влⷣко чл҃вѣколю́бче, нáсъ рáди оу҆мéрый же и҆ воскрⷭ҇сый, и҆ даровáвый нáмъ стрáшнаѧ сїѧ҄ и҆ животворѧ҄щаѧ тáинства, во бл҃годѣѧ́нїе и҆ ѡ҆ст҃ɪ́нїе дꙋ́шъ и҆ тѣлéсъ нáшихъ, дáждь бы́ти си҄мъ и҆ мнѣ̀ во и҆сцѣлéнїе дꙋши́ же и҆ тѣ́ла, во ѿгнáнїе всѧ́кагѡ сопроти́внагѡ, въ просвѣщéнїе ѻ҆́чїю сéрдца моегѡ̀, въ ми́ръ дꙋшéвныхъ мои́хъ си́лъ, въ вѣ́рꙋ непосты́днꙋ, въ любо́вь нелицемѣ́рнꙋ, во и҆сполнéнїе премꙋ́дрости, въ соблюдéнїе за́повѣдей твои́хъ, въ приложéнїе бж҃éственныѧ твоеѧ̀ бл҃годáти, и҆ твоегѡ̀ црⷭ҇твїѧ присвоéнїе: да во ст҃ы́ни твоéй тѣ́ми сохранѧ́емь, твою̀ бл҃годáть поминáю всегдà, и҆ не ктомꙋ̀ себѣ̀ живꙋ̀, но тебѣ̀ нáшемꙋ влⷣцѣ и҆ бл҃годѣ́телю. и҆ тáкѡ сегѡ̀ житїѧ̀ и҆зшéдъ ѡ҆ надéждѣ животà вѣ́чнагѡ, въ присносꙋ́щный дости́гнꙋ поко́й,

ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος καὶ ἡ ἀπέραντος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄῤῥητον. Σὺ γὰρ εἶ τὸ ὄντως ἐφετὸν καὶ ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

### Τοῦ Μεγάλου Βασιλείου.

Δέσποτα Χριστὲ ὁ Θεός, Βασιλεῦ τῶν αἰώνων καὶ Δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν, οἷς παρέσχου μοι ἀγαθοῖς, καὶ ἐπὶ τῇ Μεταλήψει τῶν ἀχράντων καὶ ζωοποιῶν σου Μυστηρίων. Δέομαι οὖν σου, ἀγαθὲ καὶ φιλάνθρωπε· φύλαξόν με ὑπὸ τὴν σκέπην σου καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καὶ δώρησαί μοι ἐν καθαρᾷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Σὺ γὰρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Συμεὼν τοῦ Μεταφραστοῦ.

Ὁ δοὺς τροφήν μοι σάρκα σὴν ἑκουσίως,
ὁ πῦρ ὑπάρχων καὶ φλέγων ἀναξίους,
μὴ δὴ καταφλέξῃς με, μὴ Πλαστουργέ μου·
μᾶλλον δίελθε πρὸς μελῶν μου συνθέσεις,
εἰς πάντας ἁρμούς, εἰς νεφρούς, εἰς καρδίαν.
Φλέξον δ᾽ ἀκάνθας τῶν ὅλων μου πταισμάτων.
Ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας
τὰς ἰγνύας στήριξον ὀστέοις ἅμα·
αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα·



и҆дѣ́же пра́зднꙋющихъ гла́съ непреста́нный и҆ безконе́чнаѧ сла́дость зрѧ́щихъ твоегѡ̀ лица̀ добро́тꙋ неизрече́ннꙋю: ты́ бо є҆сѝ и҆́стинное жела́нїе, и҆ неизрече́нное весе́лїе лю́бѧщихъ тѧ̀, хрⷭ҇тѐ бж҃е на́шъ, и҆ тѧ̀ пое́тъ всѧ̀ тва́рь во вѣ́ки, а҆ми́нь.

### Вели́кагѡ васі́лїа, в҃:

Вл҃ко хрⷭ҇тѐ бж҃е, цр҃ю̀ вѣкѡ́въ и҆ соде́телю всѣ́хъ, бл҃года́рю тѧ ѡ҆ всѣ́хъ, ꙗ҆̀же мѝ є҆сѝ по́далъ бл҃ги́хъ, и҆ ѡ҆ причаще́нїи прчⷭ҇тыхъ и҆ животворѧ́щихъ твои́хъ та́инствъ. молю̀ ᲂу҆́бѡ тѧ̀ бл҃же и҆ чл҃вѣколю́бче, сохрани́ мѧ под̾ кро́вомъ твои́мъ, и҆ въ сѣ́ни крил ᲂу҆ твое́ю, и҆ да́рꙋй мѝ чи́стою со́вѣстїю да́же до послѣ́днѧгѡ моегѡ̀ и҆здыха́нїѧ, досто́йнѡ причаща́тисѧ ст҃ы́нь твои́хъ во ѡ҆ставле́нїе грѣхѡ́въ, и҆ въ жи́знь вѣ́чнꙋю: ты́ бо є҆сѝ хлѣ́бъ живо́тный, и҆сто́чникъ ст҃ы́ни, пода́тель бл҃ги́хъ, и҆ тебѣ̀ сла́вꙋ возсыла́емъ со ѻ҆ц҃е́мъ и҆ ст҃ы́мъ дх҃омъ, ны́нѣ и҆ при́снѡ, и҆ во вѣ́ки вѣкѡ́въ, а҆ми́нь.

### Метафра́ста по стї́хѡмъ, г҃:

Да́вый пи́щꙋ мнѣ̀ пло́ть твою̀ во́лею,
Ѻ҆́гнь сы́й и҆ ѡ҆палѧ́ѧй недостѡ́йныѧ,
да не ѡ҆пали́ши менѐ соде́телю мо́й:
Па́че же пройдѝ во ᲂу҆́ды моѧ҄,
Во всѧ҄ соста́вы, во ᲂу҆тро́бꙋ, въ се́рдце.
Попалѝ те́рнїе всѣ́хъ мои́хъ прегрѣше́нїй.
Дꙋ́шꙋ ѡ҆чи́сти, ѡ҆ст҃ѝ помышле́нїѧ.
Соста́вы ᲂу҆твердѝ съ костьмѝ вкꙋ́пѣ.
Чꙋ́вствъ просвѣтѝ простꙋ́ю пѧтери́цꙋ.
Всего́ мѧ спригвоздѝ стра́хꙋ твоемꙋ̀.

ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ.
Ἀεὶ σκέπε, φρούρει τε καὶ φύλαττέ με
ἐκ παντὸς ἔργου καὶ λόγου ψυχοφθόρου.
Ἅγνιζε καὶ κάθαρε καὶ ῥύθμιζέ με·
κάλλυνε, συνέτιζε καὶ φώτιζέ με·
δεῖξόν με σὸν σκήνωμα Πνεύματος μόνου,
καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας·
ἵν’ ὡς σὸν οἶκον εἰσόδῳ κοινωνίας,
ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος.
Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους,
τὰς ταξιαρχίας τε τῶν Ἀσωμάτων,
τὸν Πρόδρομόν σου, τοὺς σοφοὺς Ἀποστόλους,
πρὸς τοῖς δὲ σὴν ἄχραντον ἁγνὴν Μητέρα·
ὧν τὰς λιτάς, εὔσπλαγχνε, δέξαι, Χριστέ μου,
καὶ φωτὸς παῖδα τὸν σὸν ἔργασαι λάτριν.
Σὺ γὰρ ὑπάρχεις ἁγιασμὸς καὶ μόνος
ἡμῶν, ἀγαθέ, τῶν ψυχῶν καὶ λαμπρότης·
καὶ σοὶ πρεπόντως, ὡς Θεῷ καὶ Δεσπότῃ,
δόξαν ἅπαντες πέμπομεν καθ’ ἡμέραν.

### Ἀνωνύμου

Τὸ Σῶμά σου τὸ ἅγιον, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον, καὶ τὸ Αἷμά σου τὸ τίμιον εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ εὐχαριστία αὕτη εἰς χαράν, ὑγείαν καὶ εὐφροσύνην· καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου ἀξίωσόν με τὸν ἁμαρτωλὸν στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης, πρεσβείαις τῆς παναχράντου σου Μητρός, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

### Ἀνωνύμου εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Παναγία Δέσποινα, Θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης



При́снѡ покры́й, соблюди́ же, и҆ сохрани́ мѧ
ѿ всѧ́кагѡ дѣ́ла и҆ сло́ва дꙋшетлѣ́ннагѡ,
ѡ҆чи́сти и҆ ѡ҆мы́й, и҆ ᲂу҆красѝ мѧ̀,
ᲂу҆добрѝ, вразꙋмѝ, и҆ просвѣти́ мѧ.
Покажи́ мѧ твоѐ селе́нїе є҆ди́нагѡ дх҃а,
И҆ не ктомꙋ̀ селе́нїе грѣха̀,
да ꙗ҆́кѡ твоегѡ̀ до́мꙋ вхо́домъ причаще́нїѧ,
Ꙗ҆́кѡ ѻ҆гнѧ̀ менѐ бѣжи́тъ всѧ́къ ѕлодѣ́й, всѧ́ка
стра́сть.
Мл҃твенники тебѣ̀ приношꙋ̀ всѧ̑ ст҃ы̑ѧ:
Чиноначѧ̑лїѧ же безпло́тныхъ,
Прⷣте́чꙋ твоегѡ̀, премꙋ̑дрыѧ а҆п҇лы,
Къ си̑мъ же твою̀ нескве́рнꙋю ч҇тꙋю мт҃рь.
И҆́хже мольбы̑ бл҃гоꙋтро́бне прїимѝ хр҇тѐ мо́й,
И҆ сы́номъ свѣ́та содѣ́лай твоегѡ̀ слꙋжи́телѧ.
Ты́ бо є҆сѝ ѡ҆сщ҃е́нїе, и҆ є҆ди́ный
На́шихъ, бл҃же, дꙋ́шъ и҆ свѣ́тлость.
И҆ тебѣ̀ лѣпоподо́бнѡ ꙗ҆́кѡ бг҃ꙋ и҆ влⷣцѣ
сла́вꙋ всѝ возсыла́емъ на всѧ́къ де́нь.

### Мл҃тва безъ и҆́мене:

Тѣ́ло твоѐ ст҃о́е гдⷭ҇и і҆и҃се хрⷭ҇тѐ бж҃е на́шъ, да бꙋ́детъ мѝ въ живо́тъ вѣ́чный, и҆ кро́вь твоѧ̀ ч҇тна́ѧ во ѡ҆ставле́нїе грѣхѡ́въ: бꙋ́ди же мѝ бл҃годаре́нїе сїѐ въ ра́дость, здра́вїе и҆ весе́лїе: въ стра́шное же и҆ второ́е прише́ствїе твоѐ сподо́би мѧ̀ грѣ́шнаго ста́ти ѡ҆деснꙋ́ю сла́вы твоеѧ̀: мл҃твами преч҇тыѧ твоеѧ̀ мт҃ре, и҆ всѣ́хъ ст҃ы́хъ.

### Мл҃тва безъ и҆́мене ко прест҃ѣ́й бцⷣѣ:

Прест҃а́ѧ влⷣчце бцⷣе, свѣ́те помраче́нныѧ моеѧ̀ дꙋши̑,

μου ψυχῆς, ἡ ἐλπίς, ἡ σκέπη, ἡ καταφυγή, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τὸν ἀνάξιον κοινωνὸν γενέσθαι τοῦ ἀχράντου Σώματος καὶ τοῦ τιμίου Αἵματος τοῦ Υἱοῦ σου. Ἀλλ’ ἡ τεκοῦσα τὸ ἀληθινὸν φῶς, φώτισόν μου τοὺς νοητοὺς ὀφθαλμοὺς τῆς καρδίας· ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ, ἡ τοῦ ἐλεήμονος Θεοῦ φιλεύσπλαγχνος Μήτηρ, ἐλέησόν με, καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ καρδίᾳ μου καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου, καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καὶ ἀξίωσόν με, μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων Μυστηρίων τὸν ἁγιασμόν, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος· καὶ παράσχου μοι δάκρυα μετανοίας καὶ ἐξομολογήσεως, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Ὅτι εὐλογημένη καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.



надє́ждо, покро́вє, прибѣ́жище, ѹ҆тѣшє́нїє, ра́дованїє моѐ, бл҃годарю́ тѧ ꙗ҆́кѡ сподо́била мѧ̀ є҆сѝ недосто́йнаго, прича́стника бы́ти пречⷭ҇таго тѣ́ла и҆ чⷭ҇тны́ѧ кро́ве сн҃а твоегѡ̀. но ро́ждшаѧ и҆́стинный свѣ́тъ, просвѣтѝ моѧ҄ ѹ҆́мныѧ ѻ҆́чи се́рдца: ꙗ҆́же и҆сто́чникъ безсме́ртїѧ ро́ждшаѧ, ѡ҆животвори́ мѧ ѹ҆мерщвле́ннаго грѣхо́мъ: ꙗ҆́же млⷭ҇тиваго бг҃а любобл҃гоꙋтро́бнаѧ мт҃и, поми́лꙋй мѧ̀, и҆ да́ждь мѝ ѹ҆миле́нїє, и҆ сокрꙋше́нїє въ се́рдцѣ моє́мъ, и҆ смире́нїє въ мы́слехъ мои́хъ, и҆ воззва́нїє въ плѣне́нїихъ помышле́нїй мои́хъ. и҆ сподо́би мѧ̀ до послѣ́днѧгѡ и҆здыха́нїѧ, неѡсꙋжде́ннѡ прїима́ти пречⷭ҇тыхъ таи҄нъ ѡ҆сщ҃е́нїє, во и҆сцѣле́нїє дꙋши́ же и҆ тѣ́ла. и҆ пода́ждь мѝ слє́зы покаѧ́нїѧ, и҆ и҆сповѣ́данїѧ, во є҆́же пѣ́ти и҆ сла́вити тѧ̀ во всѧ҄ дни҄ живота̀ моегѡ̀: ꙗ҆́кѡ бл҃гослове́на, и҆ препросла́влена є҆сѝ во вѣ́ки, а҆ми́нь.